ΑΝΘΟΛΟΓΙ΄Α ΔΕΥΤΕ΄ΡΑ:

SIVE

GRÆCORUM EPIGRAMMATUM

Florilegium Novum.

Cum aliis Veterum Poematis, *&c.*

In usum Scholæ WESTMONASTERIENSIS.

L[illegible]*ini*, Ex Officinâ *E. Redmayne*, 1696.

B L

Ger. Joh. Vossii de Poetis Latinis

CAP. VII.

SIquis inter Græcos & Latinos Poetas comparationem instituere volet, minimum inventionis gloria debetur Græcis, quos sibi imitandos proposuerunt Latini. Præterea fatendum Latinos fere à Græcis vinci lepore ; vincere gravitate : quia non bene conveniant gravitas & lepos : Romani autem graviores, eoque minus culti ac lepidi.



Chambers.

[illegible]

coll. F L

[illegible] throughout

[illegible] last leaf backed

[illegible] B 1 copy

449

Dum vivimus vivamus

By Mr. Doderidge of Northampton

Live while you live, the Epicure would say,
And snatch the Pleasures of the present Day;
Live while you live, the sacred Preacher cries,
And give to God each Moment as it flies.
Lord in my Views let both united be!
I live to Pleasure when I live to thee.

Ἀνθολογία Δευτέρα

I.

Ἡ ἄμπελος πρὸς τὸν τράγον.

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω
Ὅσσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ.

II.

Οἱ κόρεις ἄχρι κόρου κορέσαντό μου· ἀλλ᾽ ἐκορέσθην
Ἄχρι κόρου κ᾽αὐτὸς τοὺς κόρεις ἐκκορίσας.

III.

Ὁ Ζεὺς πρὸς τὸν Ἔρωτα· βέλη τὰ σὰ πάντ᾽ ἀφελοῦμαι·
Χὠ πτανός· βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

IV.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ᾽ ἀνεγείρειν
Ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

V.

Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν
Τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.

VI.

Εἴπερ γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

VII.

Ἠρίθμει πολὺν ὄλβον Ἀριστείδης ὁ πενιχρός,
Τὴν οἶν ὡς ποίμνην· τὴν βόα δ᾽ ὡς ἀγέλην.

VIII.

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
Στέλλετε, ναυηγὸν κλῶνα περὶ ναυτιλίης;

IX.

Χρυσέ, πάτερ κολάκων· ὀδύνης καὶ φροντίδος υἱέ,
Καὶ τὸ [redacted] ἔχειν σ', ὀδύνη.

X.

Ἔστην ἐν φόρμιγξι· κατηρείφθην γὰρ σὺν αὐλῷ
Θήβη· φεῦ μέσης ἔμπαλιν ἁρμονίης.

XI.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν,
Ὃν λίπεν, οὐχ εὑρὼν, ἧψεν, ὃν εὗρε, βρόχον.

XII.

Ἔσβεσε τὸν λύχνον μωρός, ψυλλῶν ὑπὸ πολλῶν
Δακνόμενος· λέξας, οὐκέτι με βλέπετε.

XIII.

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
Γράμμασι δεικνύμεναι ΖΗΘΙ λέγουσι βροτοῖς.

XIV.

Ἀγρέα τις λιπόγυιον ὑπὸ νώτοιο λιπαυγῆς
Ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.

XV.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν, καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
Τοῖς ποσί σου τρῶγε, καὶ τρέχε τῷ στόματι.

XVI.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης·
Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

XVII.

Βύσας, εἰ φρένας εἶχεν, ἀπήγχετο· νῦν δ' ὑπ' ἀνοίας
Καὶ ζῇ καὶ πλουτεῖ, καὶ μετὰ τὴν Πάροδον.

XVIII.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τριχόρωνος
Γίνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ ῥέα.

XIX.

Εἰς Δυσπώδη.

Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς σὺ, φιλεῖς με·
Εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει.

XX.

Ἂν μου ἀπόντα λέγῃς με κακῶς πάνυ, οὐκ ἀδικεῖς με.
Ἂν δὲ παρόντα, καλῶς· ἴσθι κακῶς με λέγων.

XXI.

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος, ἔθηκε
Πλὴν τοῦ Μηνοδότου πᾶσιν ὁμοιοτάτην.

XXII.

Οὐκ ἔκλυσεν Φείδων μ' οὐθ' ἥψατο· ἀλλὰ πυρέξας
Ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

XXIII.

Εἰς ἰατρὸν κλέπτην.

Φαρμακίησι Ῥόδων λέπραν, καὶ χοιράδας αἴρει,
Τἄλλα δὲ πάντ' αἴρει καὶ Νίχα φαρμακιῶν.

XXIV.

Ἵππον ὑποζόμενός μοι Ὀλύμπιος ἤγαγεν οὐρὴν,
Ἧς ὀλιγοδρανέων ἵππος ἀπεκρέματο.

XXV.

Νυκτικόραξ ᾄδει θανατηφόρον· ἀλλ' ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει κ' αὐτὸς ὁ νυκτικόραξ.

XXVI.

Εἰς Ἀπανὸν, πότην.

Γράμμα περισσὸν ἔχεις τὸ προκείμενον· ἢν ἀφέλῃ τις
Τοῦτό σοι, οἰκεῖον κλήσῃ ἁπλῶς ὄνομα.

XXVII.

Εἰς φυλακὴν βληθεὶς ποτε Μάρκος ὁ ἀργὸς, ἑκοντὶ
Ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

XXVIII.

Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμὸς,
Ὡς ξύλινος Δάφνην· ὡς λίθινος Νιόβην.

XXIX.

Εἴη σοι κατὰ γῆς κούφη κόνις, οἰκτρὲ Νέαρχε,
Ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

XXX.

Εἰκὼν ἡ Σέξτου μελετᾷ· Σέξτος δὲ σιωπᾷ·
Ῥήτωρ ἦν, εἰκών· ὁ δὲ ῥήτωρ εἰκόνος εἰκών.

XXXI.

Χαλκὸν ἔχων πῶς οὐδὲν ἔχεις μάθε· πάντα δανείζεις·
Οὕτως οὐδὲν ἔχεις αὐτός, ἵν' ἄλλος ἔχῃ.

XXXII.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος·
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

XXXIII.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
Καὶ τράγος εὐπώγων, εὔστολός ἐστι Πλάτων.

XXXIV.

Εἰ μοναχοί, τί τοσοίδε; τοσοίδε δέ, πῶς πάλι μοῦνοι;
Ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

XXXV.

Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς
Εἰκόνα τῶν ἐντὸς ἡ φύσις ἐκτὸς ἔχει.

XXXVI.

Λυσιμελοῦς Βάκχου καὶ λυσιμελοῦς Ἀφροδίτης
Γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

XXXVII.

Παμμῆτορ γῆ, χαῖρε· σὺ μὲν πάρος οὐ βαρὺς εἰς σὲ
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

XXXVIII.

Εἰς Ἐπίκουρον καὶ Θεμιστοκλέα.

Χαῖρε Νεοκλείδα δίδυμον γένος· ὧν ὁ μὲν ὑμῶν
Πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

XXXIX.

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

XXXIX.

Ἀπὸ τῶν ἐν Θερμοπύλαις θανόντων.

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

XL.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἔρῃ,
Ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

XLI.

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
Οὐ θάπτεις. τοίου κ' αὐτὸς ὄναιο τάφου.

XLII.

Ὁδοιπόρος καὶ μισάνθρωπος.

Τίμων (οὐ γὰρ ἔτ' ἐστί) τί τοι φάος ἢ σκότος ἐχθρόν;
Τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν ἀΐδῃ.

XLIII.

Ὡς ἀπὸ τοῦ αὐτοῦ Τίμωνος.

Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ· ἀλλὰ πάρελθε
Ἶσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μή σε γελᾶν.

XLIV.

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι·
Ταρσεύς· μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.

XLV.

Ἐπιτάφιον δούλης.

Ζωσίμη ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
Καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

XLVI.

Δοῦλος ἀνὴρ ἐστὶ ζῶν ἦν ποτε· νῦν δὲ τεθνηκὼς
Ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

XLVII.

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν· Ἕκτορι δ' Αἴας
Ζωστῆρ'· ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

XLVIII.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
Ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης!

XLIX.

Ὀκτὼ μὲν πήχεις ἄπεχε, τρηχεῖα θάλαττα,
Καὶ κύμαινε, βόα θ' ἡλίκα σοὶ δύναμις.

L.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν
Οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

LI.

Ἀπὸ Διογένους.

Πάντα φέρω πρόθυμος· λέλοιπα γὰρ οὐδὲν ὑπὸ γῆς·
Ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με Κύνα.

LII.

Εἰς Σκεπτικόν. διάλογος.

Κάτθανες, ὦ Πύῤῥων; ἐπέχω· Πυμάτην μετὰ μοῖραν
Φῂς ἐπέχειν; ἐπέχω· Σκέψιν ἔπαυσε τάφος.

LIII.

Δοῦλος Ἐπίκτητος γενόμην καὶ σῶμ' ἀνάπηρος·
Καὶ πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις.

LIV.

Πλούτων, δέξο μάκαρ Δημόκριτον ὥς κεν ἀνάσσων
Αἰὲν ἀμειδήτων, καὶ γελάοντα λάχοις.

LV.

Εἰς ἄγαλμα Διὸς διὰ Φειδίου·

Ἢ Θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν Θεὸν ὀψόμενος.

LVI.

Εἰς τὸν Μύρωνος βοῦν.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
Βοΐδιον, ὡς ἔμπνουν, βουσὶ συνεξελάσῃς.

LXII.

Imitated by Prior.

When Chloe's Picture was to Venus shewn,
Surpriz'd the Goddess took it for her own;
And, what said she does this bold Painter mean,
When was I naked thus & bathing seen?
&c &c —

LVII.

Ἢ τὸ δέρας χάλκειον ὅλον βοῒ ταῦτ' ἐπίκειται
Ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

LVIII.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχῃ; τίπτε δὲ μυκᾷ;
Ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

LIX.

Πόρτιν τήνδε Μύρωνος ἰδὼν τάχα τοῦτο βοήσεις,
Ἢ φύσις ἄπνοός ἐστιν, ἢ ἔμπνοος ἔπλετο τέχνη.

LX.

Ἱπποκένταυρος.

Ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ αἰόλος ἵππος.
Ἀνδρόθεν ἐκκέχυθ' ἵππος, ἀνέδραμε δ' ἱππόθεν ἀνήρ.

LXI.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με Θεοὶ τεῦξαν λίθον, ἐκ δὲ λίθοιο
Ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

LXII.

Εἰς ἄγαλμα Κύπριδος.

Ἁ Κύπρις τὴν Κύπριν ἐνὶ Κνίδῳ, εἶπεν, ἰδοῦσα,
Φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

LXIII.

Στήλη Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχει, τῷ τε χαλινῷ
Μήτ' ἄμετρόν τι ποιεῖν μήτ' ἀχάλινα λέγειν.

LXIV.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
Ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

LXV.

Κεκροπίδαι Διῒ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' Ὀλύμπου
Νειόμενος ποτὶ γῆν, ἄλλον Ὄλυμπον ἔχῃ.

LXVI.

Κερδαλέους δίζεσθε δόμους, λῃίστορες, ἄλλους·
Τοῖσδε γὰρ ἐστὶ φύλαξ ἔμπεδος, ἡ πενίη.

LXVII.

Ἑπτὰ ἐρειδμαίνουσι πόλεις περὶ ῥίζαν Ὁμήρου.
Σμίρνα, Χίος, Κολοφῶν, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

LXVIII.

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
Σιγᾷς οὐ λαλέεις; Οὐδὲν ὁμοιότερον.

LXIX.

Χαλκοτύπος τὸν Ἔρωτα μεταλλάξας ἐποίησε
Τήγανον· οὐκ ἀλόγως, ὅττι καὶ αὐτὸ φλέγει.

LXX.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος ὃν μετὰ φωνῆς
Εἶδες ἄν. εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

LXXI.

Ὡρολόγιον.

Ὡρανὸν ἁ χαρεῦσα σοφὰ λίθος· ἁ διὰ τυτθοῦ
Γνώμονος, ἀελίῳ παντὶ μερισδομένα.

LXXII.

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας·
Αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

LXXIII.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος πρὶν ἀπέλθῃ·
Εἰ δὲ μένει, τί φοβῇ τοῦθ', ὃ μένει, διδόναι.

LXXIV.

Ἢ τὸ φιλεῖν περίγραψον, Ἔρως, ὅλον· ἢ τὸ φιλεῖσθαι
Πρόσθες· ἵν' ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.

K

"I

I

C

,

:

LXXV.

Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, οὐ κατέχει δέ.
Ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.

LXXVI.

Ἢν ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρῶ· ἢν δὲ τὰ πάντα
Βλέψω, τὸν δὲ γε μή, τοὔμπαλιν οὐδὲν ὁρῶ.

LXXVII.

Πέμπω σοὶ μύρον ἡδύ· μύρῳ παρέχων χάριν, οὐ σοί·
Αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.

LXXVIII.

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ·
Δέχνυσο δ' εὐμενέως· ἄλλο γὰρ οὐδὲν ἔχει.

LXXIX.

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν·
Ἀλλ' ἅμα τῷ φυσᾶν χὠ νόος ἐκπέταται.

LXXX.

Ἀντίον ἠελίου στήσας ῥῖνα καὶ στόμα χάσκων
Δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

LXXXI.

Ἄνθρωποι δείλης, ὅτ' ὀπίνομες· ἂν δὲ γένηται
Ὄρθρος, ἐπ' ἀλλήλους θῆρες ἐγειρόμεθα.

LXXXII.

Ζεὺς κύκνος, ταῦρος, Σάτυρος, χρυσὸς δι' ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

LXXXIII.

Αἱ βόες αἱ λευκαὶ Μάρκῳ τῷ Καίσαρι, χαίρειν·
Ἂν δὲ σὺ νικήσῃς, ἄμμες ἀπολλύμεθα.

LXXXIV.

Εἰς Νιόβην.

Ὁ τύμβος ἐστὶ ἔνδον οὐκ ἔχει νεκρόν·
Ὁ νεκρὸς ἐστὶ ἐκτὸς οὐκ ἔχει τάφον.
Ἀλλ᾽ αὐτὸς αὑτοῦ νεκρός ἐστι καὶ τάφος.

LXXXV.

Ἀντιστρέφοντα.

Πηνελόπη, τόδε σοι φᾶρος καὶ χλαῖναν Ὀδυσσεὺς
Ἤνεγκεν· δολιχὴν ἐξανύσας ἀτραπόν.

LXXXVI.

Οἰδιπόδης κάσις ἦν τεκέων, καὶ μητέρι πόσις
Γίγνετο, καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

LXXXIV

The body hath no grave,
The grave no corpse contain
Naught but a tombstone
Of Rishe remains. —

LXXXVII.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃς
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

[illegible] of the Rose; [illegible] past the fragrant Hour,
The Loiterer finds a Bramble for a Flow'r.

Rambler No. 71.

I.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα· τέσσαρες ἱροί,
Οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων.
Ζηνός, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο·
Ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

II.

Οὐκ ἀπὸ Μεσσάνας, οὐκ Ἀργόθεν εἰμὶ παλαιστάς,
Σπάρτα μοι Σπάρτα κυδιάνειρα πατρίς.
Κεῖνοι τεχνάεντες· ἔγωγε μὲν, (ὡς ἐπέοικε
Τοῖς Λακεδαιμονίων παισὶ) βίᾳ κρατέω.

III.

Μήτηρ τὸν ῥα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
Ἔκτανεν, ὠδίνων μνῆστιν ἀνηναμένη.
Καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
Ἀλκῇ μαρναμένων οὐ γενεῇ βρεφέων.

IV.

Εἰς Ξέρξην.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις
Ναύτην ἠπείρου, πεζοπόρον πελάγους
Ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεψεν Ἄρης
Σπάρτης· αἰσχύνεσθ' οὔρεα καὶ πελάγη.

V.

Ὃν πόλεμος δεδιὼς οὐκ ὤλεσε, νῦν ὑπὸ νούσου
Θλίβομαι, ἐν δ' ἰδίῳ τήκομ' ὅλος πολέμῳ.
Ἀλλὰ διὰ στέρνων ἴθι, φάσγανον· ὡς γὰρ ἀεὶ στάς
Θνήξομ', ἀπωσάμενος καὶ νόσον ὡς πόλεμον.

VI.

Μακιῶν τείχη, Ζεῦ Ὀλύμπιε, ῥῆξε Φίλιππος
Ἀμβατά· χαλκείας κλεῖε πύλας Μακάρων.
Καὶ γὰρ χθὼν καὶ πόντος ὑπὸ σκάπτροισι Φιλίππου
Δέδμανται. λοιπὰ δ' ἁ πρὸς Ὄλυμπον ὁδός.

VII.

Οὐ στέργω βαθυλήϊους ἀρούρας
Οὐκ ὄλβον πολύχρυσον, οἷα Τύγης·
Αὐτάρκους ἔραμαι βίου, Μακεῖνε.
Τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

VIII.

Ἤειπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
Νηπιάχῳ, Ζεφύρου πολλὸν ἐλαφρότερος.
Φείσατο κουροσύνης καὶ ἐρείπιον· ὦ μεγάλαυχοι
Μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

IX.

Ἀπὸ γραμματικοῦ.

Ὄργανα μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
Εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
Πιερίδες, σώζεσθε· λόγοι, συντάσσομαι ὑμῖν.
Σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

X.

Ἀπὸ Γραμματικοῦ στίξαντος τὸ Καθόλου.

Ταυτολόγων κανόνων φεῦ πλῆθος, ἤδ' ἀϊδήλων
Ξυσμάων, λεπτὸς τὰς ἐχάραξε δόναξ.
Ὄμματα μὲν κέκμηκε, τένων, ῥάχις, ἰνίον, ὦμοι·
Τῆς ΚΑΘΟ'ΛΟΥ δὲ φέρω τὴν ὀδύνην καθόλου.

θόλυ.

XI

Τὸν

Αὐξ

Ἐκ

Αἰθ
C

Τρεῖ

Ἀρπ

Α Κ
Φ
Ζηλ
Ν

Οἶδ
Μ
Οὐκ
Ζ

Ἐν
Τ
Ἀργ
Σ

XI.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα
Ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, κατ' ἐμοῦ πάλι θηρίον ἔσται·
Ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

XII.

Ἐκ κυνὸς εἷλε κυών με· τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
Ὑγροὶ καὶ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
Αἰθέρα λοιπὸν ἔχοιτε λαγοί, βατόν· ἀλλὰ φοβοῦμαι
Οὐρανὲ, καὶ σὺ φέρεις ἀστερόεντα κύνα.

XIII.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέχριν ἔθηκαν
Ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
Ἀρκοῦμαι τούτοισιν· ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
Ἡλικίης· ἔθανεν χ' ὠ τριγέρων Πύλιος.

XIV.

Εἰς εὔμορφον κολυμβῶσαν.

Ἀ Κύπρις προφάνην γυμνάν σε βόασεν ἰδοῦσα
Φεῦ, φεῦ, πῶς σταγόνων ἐκ τόθεν οὐρανίων
Ζηλώσας ὠδῖνα θαλάσσιον ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

XV.

Πτολεμαίου.

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφήμερος· ἀλλ' ὅταν ἄστρων
Μαστεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
Οὐκέτ' ἐπιψαύω γαίης ποσίν· ἀλλὰ παρ' αὐτῷ
Ζηνὶ διοτρεφέος πίμπλαμαι ἀμβροσίης.

XVI.

Ἐν ἑνὶ κινδύνοις ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
Τὸν μὲν, ἀεισδίσας, τὸ δ' ἐπινηξάμενος.
Ἀργέστης ὅτ' ἔδυσε νεὼς τρόπον, ἀσπίδα δ' ἔχων
Σωθεὶς κεκειμένην ὕδατι καὶ πολέμῳ.

XVII.

Αἱ νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἥλατο κοῦρος,
Νίψαν, ὑπὸ τέφρης ἄρτι κυλινδόμενον.
Τοὔνεκα σὺν νύμφαις Βρόμιος φίλος· ἢν δέ νιν εἴργῃς
Μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

XVIII.

Ἦν νέος, ἀλλὰ πένης, νῦν γηρῶν πλούσιός εἰμι.
Ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.
Ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲ ἓν εἶχον·
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

XIX.

Εἰς Ἄργος.

Ἡ πρὶν ἐγὼ Περσῆος ἀκρόπολις αἰθερίοιο,
Ἡ πικρὸν Ἰλιάδαις ἀστέρα θρεψαμένη
Αἰπολίοισιν ἔναυλον ἐρημαίοισιν ἀνέμοις,
Τίνυσα Πριάμου δαίμοσιν ὀψὲ δίκας.

XX.

Ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς
Ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα Θεόν,
Μίσθια νῦν ἀσαθίοις πενιχροῖς πλωίσματα κρούει,
Ὀψὲ γ' Ἀθηναίη Κύπριν ἐληΐσατο.

XXI.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτὲ· νῦν δὲ Μενίππου·
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον·
Καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
Οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ τύχης.

XXII.

Ἐκ πυρὸς Ἰλιακοῦ, δοράτων μέσον ἥρπασεν Ἥρως
Αἰνείας ὅσιον πατρὶ βάρος, πατέρα·
Ἔκλαγε δ' Ἀργείοις, μὴ ψαύετε· μικρὸν ἐς Ἄρη
Κέρδος ὁ γηραλέος, τῷ δὲ φέροντι μέγα.

XXIII.

XVIII.

Young was I once & poor, now rich & old;
A harder Case than mine was never told;
Blest with the Power to use them-I had none;
Loaded with Riches now, the Power is gone.

F: Lewis.

XXIII.

ἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοι·
Εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
ὔτε μεριμνήσεις δίχα δαίμονος, οὐκ ἀμελήσεις·
Ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

XXIV.

Παραμβήσαντός τινος ἐν τῷ Κυναίγειρος.
Ω τλῆμον Κυνέγειρε καὶ ἐν ζωοῖς καὶ ἀπελθών,
Ὡς αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσι.
ρόσθε μὲν ἐν πολέμοισι τεὴν πέσε μαρναμένου χείρ·
Νῦν δέ σ' ὁ γραμματικὸς καὶ πόδας ἐστέρισε.

XXV.

ύγχος ἔχων τοιοῦτον, Ὀλυμπικέ, μήτ' ἐπὶ κρήνην
Ἔλθῃς, μήτ' ἐνόρα πρὸς τὸ διαυγὲς ὕδωρ.
αὶ σὺ γὰρ ὡς Νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργές
Τεθνήξῃ, μισῶν σαυτὸν, ἕως θανάτου.

XXVI.

χθὺν ὁ γριπεὺς Σωσίπολις οὐκ ἀγρεύει·
Πεῖνα δ' ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην.
ὐ λίνον, οὐ κάλαμον προσάγων· τῇ ῥινὶ δὲ προσθείς
Ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

XXVII.

υογλύφος οἶκος κατεκαίετο, πολλὰ δ' ἐμόχθει
Ἐκ θυρίδος ζητῶν αὐτὸν ὑπὲρ χαλάσαι.
κεία συμπήξας οὐκ ἔφθανεν· ὀψὲ δ' ἐπιγνούς,
Τὴν ῥῖν' Ἀντιμάχου κλίμακα θείς, ἔφυγε.

XXVIII.

ὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
Τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
ὐδὲ λέγει, Ζεῦ σῶσον, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
Τῆς ῥινός, πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

XXIX.

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα
 Ζητεῖς, τίς τούτων ἄξιός ἐστι τινος.
Τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν· ἄξιος ὄντως
 Ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

XXX.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
 Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
Τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
 Τέθνηκεν· γέγονεν δ' ὀρθότερος κανόνος.

XXXI.

Πέντ' ἰατρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
 Πέντ' ἴδεν ἀρρώστους, πέντ' ἐνέχρισε πάλιν.
Καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σοροπηγός,
 Εἷς τάφος, εἷς Ἀΐδης, εἷς κοπετὸς γέγονεν.

XXXII.

Πανὶ φιλοσπήλυγγι καὶ οὐρεοφοιτάσι νύμφαις,
 Καὶ Σατύροις, ἱεραῖς τ' ἔνδον Ἁμαδρυάσι,
Σὺν κυσὶ καὶ λόγχαις τὸ πρὶν συοφοντίσι, Μάρκος
 Μηδὲν ἑλών, αὐτοὺς τοὺς κύνας ἐκρέμασε.

XXXIII.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν,
 Εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς·
Ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
 Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

XXXIV.

Εἶχε Φίλων λέμβον σωτήριχον· ἀλλ' ἐν ἐκείνῳ
 Σωθῆν' οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται.
Οὔνομα γὰρ μόνον ἦν Σωτήριχος· οἱ δ' ἐπιβάντες
 Ἔπλεον ἢ παρὰ γῆν ἢ παρὰ Περσεφόνην.

XXXV.

Αἰεὶ θηεῖον ἦσθα, Πολύκειτε· νῦν δὲ πεπωκὼς
  Ἐξαπίνης ἐγγὺς λυσσομανές τι κακόν.
Αἰεί μοι δοκέεις κακὸς ἔμμεναι· οἶνος ἐλέγχει
  Τὸν τρόπον· οὐκ ἐγγὺς νῦν κακὸς, ἀλλ' ἐφάνης.

XXXVI.

Σφάλλομαι ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἄρα
  Σώσει μ' ἐκ Βρομίου γυῖα σαλευόμενον;
Ὡς ἄδικον Θεὸν εὗρεν, ὅθ' οὕνεκεν αὐτὸς ἐγώ σου
  Βάκχε φέρων, ὑπὸ σοῦ τοὔμπαλι παρφέρομαι;

XXXVII.

Οὔ μοι Πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
  Ὀρνύμενον στυφελῷ κῦμα περὶ σκοπέλῳ·
Οὐδ' ὅταν ἀστράπτῃ μέγας οὐρανὸς, ὡς κακὸν ἄνδρα
  Ταρβῶ καὶ μύθων μνήμονας ὑψοπότας.

XXXVIII.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι
  Καὶ διὰ τοῦτο τρέφεις, φίλτατε, μυοσόβην.
Κεῖρον, ἐμοὶ πεισθεὶς ταχέως· ἐστὶ γὰρ ὁ πώγων
  Φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

XXXIX.

Ἑρμαίοις, ἡμῖν Ἀφροδίσιος ἐξ χόας οἴνου
  Αἴρων, προσκόψας πένθος ἔθηκε μέγα·
Οἶνος καὶ Κένταυρον ἀπώλεσεν· ὡς ὄφελεν δὲ
  Χ' ἡμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

XL.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δὲ σέ φημι πένεσθαι,
  Χρῆσις γὰρ πλούτου μάρτυς, Ἀπολλόφανες.
Ἂν μετέχῃς αὐτῶν σὺ, σὰ γίνεται· ἂν δὲ φυλάσσῃς
  Κληρονόμοις, ἀπὸ νῦν γίνεται ἀλλότρια.

XLI.

Ἐχθὲς δειπνήσας τράγιον πόδα, καὶ δεκαταῖον
Καννάβινης κράμβης μήλινον ἀσπάραγον.
Εἰπεῖν τὸν καλέσαντα φυλάσσομαι· ἔστι γὰρ ὀξύς.
Καὶ φόβος οὐχ ὁ τυχὼν, μή με πάλιν καλέσῃ.

XLII.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ·
Καὶ, τί ποιεῖς, φησὶν, φίλτατε μῦ, παρ' ἐμοί;
Ἡδὺ δ' ὁ μῦς γελάσας, μηδὲν, φίλε (φησὶ) φοβηθῇς·
Οὐχὶ τροφῆς παρὰ σοὶ χρήζομαι, ἀλλὰ μονῆς.

XLIII.

Εἶναι μὲν Κυνικόν σε, Μενέστρατε, κἀνυπόδητον,
Καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου.
Ἂν δὲ παραρπάζῃς ἄρτους καὶ κλάσματ' ἐδωδῆς
Κἀγὼ ῥάβδον ἔχω καὶ σε λέγουσι κύνα.

XLIV.

Εἰς Θεμίστιον τὸν φιλόσοφον γενόμενον Ὕπαρχον.

Ἄντυγος οὐρανίης ὑπερήμενος, ἐς πόθον ἦλθες
Ἄντυγος ἀργυρέης· αἶσχος ἀπειρέσιον!
Ἦσθά ποτε κρείσσων, αὖθις δ' ἐγένου πολὺ χείρων·
Δεῦρ', ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

XLV.

Κλεινὸς Ἰωάννης· θνητός, λέγε· Γαμβρὸς ἀνάσσης·
Θνητὸς ὅμως· Γενεῆς ἄνθος Ἀναστασίου·
Θνητοῦ κἀκείνου· Βίον ἔνδικος· Οὐκέτι τοῦτο
Θνητὸν ἔφης· ἀρεταὶ κρείττονές εἰσι μόρου.

XLVI.

Μὴ μέτρει Μάγνητι τὸ τηλίκον οὔνομα τύμβῳ
Μηδὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω·

Tῷ

'A

'A

M

Π

Π

'A

Δ

E

Σ

O

M

Τεκμαίρευ Σαλαμῖνι καὶ ὁλκάσι, τῆ Φιλόπατειν
  Γνώσῃ δ' ἐκ τούτων μείζονα Κεκροπίης.

XLVII.

Ἀστέρας εἰσαθρεῖ Ἀστὴρ ἐμός· αἴθε γενοίμην
  Οὐρανὸς, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.
Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος.
  Νῦν δὲ θανὼν, λάμπεις Ἕσπερος ἐν φθιμένοις.

XLVIII.

Νιόβη πρὸς Χάρωνα.

Μοῦνον σοῦ τέκνοις νεκυοστόλε δέξο με Πορθμεῦ,
  Τὰν καλὸν· ἀρκεῖ σοι φόρτος ὁ Ταντολίδος.
Πληρώσει γαστὴρ μία σὸν σκάφος· εἰσιδὲ κούρους
  Καὶ κούρας, Φοίβου σκῦλα καὶ Ἀρτέμιδος.

XLIX.

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα
  Νηλειὴς Ἀΐδης ἥρπασε Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέχων
  Παῦρον, καὶ παύρων τῶν βιότοιο κακῶν.

L.

Δοῦλος ἐγὼ, ναὶ δοῦλος· ἐλεύθερον δὲ με τύμβῳ,
  Δέσποτα Τιμάνθη, τῆς σὸν ἔθου στοργέα.
Εὐαίων', ἀπονῆ τείνοις βίον· ἢν δ' ὑπὸ γήρως
  Πρός με μόλης, σὸς ἐγὼ Δέσποτα κ' εἰν Ἀΐδῃ,

LI.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κλάνε μοῖρα
  Αὐτοῦ χρησαμένη καὶ χερὶ καὶ ξίφεϊ.
Οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
  Εὑρέμεναι Κλωθὼ τοῦ δ' ἕτερον φονέα.

LII.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα· μηδ' ἐπὶ τύμβῳ
  Μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.

Ἰλιάς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλάς, Ἀχαιοί
Φθέγγοντες· τούτοις πᾶσιν ἐχωννύμεθα.

LIII.

Ἄγριός ἐστι Χάρων· πλέον ἤπιος· Ἥρπασεν ἤδη
Τὸν νέον· ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
Τερπωλῆς ἀπέπαυσεν· ἀπεσυφέλιξε δὲ μόχθων.
Οὐκ ἐνόησε γάμους· οὐδὲ γάμων ὀδύνας.

LIV.

Εἰπὲ Κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
Τοῦ κυνός· Ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
Διογένης. Γένος εἰπέ· Σινωπεύς· Ὃς πίθον ᾤκει;
Καὶ μάλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

LV.

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, Ἠλεῖε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς,
Οὐκέθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

LVI.

Οὐ μόνος ἐμψύχων ἀπέχεις χέρας· ἀλλὰ καὶ ἡμεῖς.
Τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρη;
Ἀλλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
Δὴ τότε καὶ ψυχὴν μὴ ἔχον ἐσθίομεν.

LVII.

Ἡράκλειτος ἐγώ· τί με, ὦ κάτω ἕλκετ', Ἄμουσοι;
Οὐχ ὑμῖν ἐπόνουν, τοῖς δὲ μ' ἐπισταμένοις.
Εἷς ἐμοὶ ἄνθρωπος τρισμυρίοι, οἱ δ' ἀνάριθμοι
Οὐδείς· Ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ·

LVIII.

Ἤθελες, ὦ Ζήνων, καλὸν ἤθελες, ἄνδρα τύραννον
Κτείνας, ἐλκῦσαι δουλοσύνης Ἐλέαν.
Ἀλλ' ἐδάμης· δὴ γάρ σε λαβὼν ὁ τύραννος ἐν ὅλμῳ
Κόψε· τί τοῦτο λέγω; σῶμα γάρ· οὐχὶ δὲ Σέ.

LIX.

LVII.

Be gone ye Blockheads, Heraclitus cries,
And leave my Labours to the learn'd & wise
By Wit by knowledge studious to be read,
I scorn the multitude, alive & dead.

Rambler N°. 208.

LIX.

Εἴπας Ἥλιε χαῖρε, Κλεόμβροτος ὡ 'μβρακιώτης
Ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἅλαδε.
Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
Ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

LX.

Ὄμματα μὲν κούρης μόλις ἡ γραφίς· οὔτε δὲ χαίτην
Οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
Εἴπερ μαρμαρυγὴν δύναται φαεθοντίδα γράψαι,
Μαρμαρυγὴν γράψαι καὶ Θεοδωριάδος.

LXI.

Εἰς Ἴκαρον ἐν λοετρῷ.

Ἴκαρε, κηρὸς μέν σε διώλεσε· νῦν δέ σε κηρῷ
Ἤγαγεν εἰς μορφὴν αὖθις ὁ Χαλκοτύπος.
Ἀλλ' ἄγε, μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λοετρὸν
Ἠερόθεν πίπτων Ἰκάριον τελέσῃς.

LXII.

Εἰς εἰκόνα Φιλοκτήτου.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πάσης ἐμὸς, ἄλλος Ὀδυσσεὺς,
Ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
Οὐκ ἤρκει πέτρη, τρύχος, λύθρον, ἕλκος, ἀνίη·
Ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

LXIII.

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος· τίν' ὅδε χαλκὸς ἔχει δύναμιν;
Αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων,
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ· σὺ δ' Ὄλυμπον ἔχε.

LXIV.

Αἰεὶ Λορπάδῃ πόνος βαρύς. εἰκόνα κεῖνα
Ἔκλυσε, καὶ δέλτων τὸν τύπον ἠφάνισε.
Τί πλέον; εἰν ἐπέεσσιν Ὁμηρείοις γὰρ ὁμοίη
Εἰκὼν ἀφθάρτοις ἐγγέγραπται σελίσι.

LXV.

LXV.

Παλλὰς τὴν Κυθέρειαν ἔνοπλον εἶπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως εἰς κρίσιν ἐρχόμεθα;
Ἡ δ᾽ ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
Εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

LXVI.

Εἰς τὸ κενόν με τέθεικε, νόμου χάριν, ὧδε Πρίηπον
Εὐτυχίδης ξηρῶν κλημματίδων φύλακα;
Καὶ περιβέβλημαι κρημνὸν βαθύν· ὃς δ᾽ ἂν ἐπέλθῃ
Οὐδὲν ἔχοι κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

LXVII.

Ἰητὴρ μερόπων Ἱπποκράτης, ἀλλὰ καὶ ἵππων
Σώσανδρε, κρυφίης ἴσορ ἀκεστορίης.
Ἢ τέχνην μετάμειψον ἢ οὔνομα, μηδὲ καλείσθω
Ἄπερος ἐκ τέχνης ἧς ἕτερος κρατέει.

LXVIII.

Ἔστησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
Καὶ τὸν ἀπολλυμένῳ σωόδρομα νηξάμενον
Εἰνάλιον δελφῖνα· λέγει δ᾽ ὁ ἐπ᾽ Ἀρίονι μῦθος
Κτεινόμεθ᾽ ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

LXIX.

Καὶ πυρὶ καὶ νιφετῷ με καὶ εἰ βούλοιο κεραυνῷ
Βάλλε, καὶ εἰς κρημνοὺς ἕλκε καὶ εἰς πελάγη.
Τὸν γὰρ ἀπαυδήσαντα πόθοις, καὶ ἔρωτι δαμέντα
Οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.

LXX.

Παρμενὶς οὐκ ἔργῳ· τὸ μὲν οὔνομα καλὸν ἀκούσας
Ὠξυμίην· σὺ δέ μοι πικροτέρη θανάτου.
Καὶ φεύγεις φιλέοντα καὶ οὐ φιλέοντα διώκεις.
Ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.

LXXI.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
Δάκρυα καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη.

Armatam Pallas Venerem Lacedæmone visen
Visne ut Judicium sic ineamus? ait.
Cui Venus arridens, Quid me galeata lacessi
Vincere si possim nuda, quid Arma gerens

Armatam vidit Venerem Lacedæmone Pallas
Nunc certemus, ait, judice vel Paride.
Cui Venus. Armatam tu me temeraria temnis,
Quæ quo te vici Tempore nuda fui?

Φησὶ μὲν ἀλλὰ φυγεῖν οὔ μοι θέμις· ἡ γὰρ ἀναιδὴς
  Αὕτη καὶ προλέγει καὶ προλέγουσα φιλεῖ.

LXXII.

Ὀξέα λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
  Ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
Σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχάοντα δοκεύσας
  Κώμαυλος Βρομίῳ ζωὸν ἀνεκρέμασε.

LXXIII.

Πανὶ Βίτων χίμαιραν, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ
  Τρισσὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
Δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι· αὔξετε δ' αἰεί,
  Πὰν, αἰγέλην· Νύμφαι, πίδακα· Βάκχε, γάνος.

LXXIV.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν Ἐρώντων
  Ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων
Τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
  Οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι. } v: pag: 43

LXXV.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θῆρευς
  Δέχνυσο, Πάν· Πίγρης σοι γὰρ ἀπὸ πτερύγων
Ταῦτα φέρει θηρῶν, Δᾶμις· Κλείτωρ δὲ θαλάσσης·
  Καὶ σφι δὸς εὐαγρεῖν ἠέρα, γαῖαν, ὕδωρ.

LXXVI.

Γλαύκῳ, καὶ Νηρεῖ, καὶ Ἰνοῖ, καὶ Μελικέρτῃ,
  Καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρηξι θεοῖς
Σωθεὶς ἐκ πελάγους Λουκίλλιος ὧδε κέκαρμαι
  Τὰς τρίχας ἐκ κεφαλῆς· ἄλλο γὰρ οὐδὲν ἔχω.

LXXVII.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
  Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν.
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·
  Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

LXXVIII.

Ἡ κόρυς ἀμφοτέρων ἔλαχεν χάριν· εἰμὶ δ' ὁρᾶσθαι
Καὶ τερπνὴ φιλίοις καὶ φόβος ἀντιπάλοις.
Ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει· ἔπρεπεν ἄλλαις
Οὔτε κόρυς χαίταις, οὔτε κόμαι κόρυθι.

LXXIX.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
Ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.
Τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δήνεα τέχνης
Τάξει καὶ νίκην οὔποτ' ἀμειβομένην;

LXXX.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε καὶ Ἄρκτου
Σὸς δρόμος ὑψιφαὴς ἀμφιβέβηκεν ὅρους,
Ἄρθιτε Κωνσταντῖνε· θανεῖν δέ σε μήτις ἐνίσπῃ
Τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

LXXXI.

Ἑπτὰ πολυπλανέες κατ' Ὄλυμπον ἀστέρες ὁδὸν,
Μήνη, Ζεὺς, Ἄρης, Παφίη, Κρόνος, Ἥλιος, Ἑρμῆς.
Οὕνεκ' ἀπ' αἰθερίων μεμερίσμεθα πνεύματος ἕλκειν
Δάκρυ, γέλωτα, χόλον, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.

LXXXII.

Ἁ δ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα· ὡς παρ' Ἀχαιοῖς
Ἁ δολόφρων Ἀπάτα κρεῖσσον ἐμεῦ κέκριται.

LXXXIII.

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις.
Ἣ πατρός τε καὶ ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυράννων
Παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

LXXXIV.

Τῆνος ὅδε Ζήνων Κιτίῳ φίλος, ὃς ποτ' Ὄλυμπον
Ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος.
Οὐδὲ τάγ' Ἡρακλῆος ἀέθλια· τὰν δὲ ποτ' ἄστρα
Ἀτραπιτὸν μούνας εὗρε σαοφροσύνας.

LXXXV.

Ἁ Κύπρις Μούσαισι· Κοράσια, τὰν Ἀφροδίταν
Τιμᾶτ'· ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
Αἱ Μοῦσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
Ἡμῖν οὐ πέταται τοῦτο τὸ παιδάριον.

LXXXVI.

Ἱππιδίων μύρμηκι Μενέστρατος ὡς ἐλέφαντι
Δύσμορος ἐξαπίνης ὕπτιος ἐξετάθη.
Λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον. Ὦ φθόνε, φησί
Οὕτως; ἱππιδίων ὤλετο καὶ Φαέθων.

LXXXVII.

Αἰνιγματῶδες.

Εἰς ἔσοπτρον.

Ἄν μ' ἐσίδῃς, καὶ ἐγώ σε; τί με βλεφάροισι δέδορκας;
Ἀλλ' ἐγὼ οὐ βλεφάροις, οὐ γὰρ ἔχω βλέφαρα.
Ἄν δ' ἐθέλῃς, λαλέω φωνῆς δίχα. σοὶ μὲν ὑπάρχει
Φωνή· ἐμοὶ δὲ μάτην χείλε' ἀνοιγόμενα.

LXXXVIII.

Εἰς δέλτον.

Ὕλη μέν με ἔτικτεν, ἐκαινούργει δὲ σίδηρος·
Εἰμὶ δὲ μουσάων μυστικὸν ἐκδοχεῖον.
Κλειομένη σιγῶ· λαλέω δ' ὅταν ἐκπετάσῃς με·
Κοινωνὸν τὸν Ἄρη μοῦνον ἔχουσα λόγων.

I. Ὀστα-

I.

Ὁ Σταδιεὺς Ἀρίης ὁ Μενεκλέος οὐ κατελέγχει
  Περσέα σὸν κλισίην Ταρσὲ Κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες· οὐδ᾽ ἂν ἐκείνῳ
  Οὐδ᾽ αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.
Ἢ γὰρ ἐφ᾽ ὑσπλήγγων ἢ τέρματος εἶδέ τις ἄκρου
  Ἠΐθεον· μέσσῳ δ᾽ οὔποτ᾽ ἐνὶ σταδίῳ.

II.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ᾽ ἄρ᾽ ὄμμασιν, ἀμφότεροι δὲ
  Εἰς αὑτοὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
Τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων
  Τοῖς κείνου φωναῖς ἀτραπὸν ὀρθοβάτει.
Πάντα δὲ ταῦτ᾽ ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη
  Ἀλλήλοις μερίσαι τ᾽ ἐλλιπὲς εἰς ἔλεον.

III.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δὲ μήτηρ
  Εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη,
Ζώων μὲν, σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις·
  Καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις.
Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
  Δύσμορος, ἀλλ᾽ ἐν ἐμῇ πατρίδι σωζομένα.

IV.

Πουλὺ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
  Ξέρξης, ἐχλαίνου φάρεϊ πορφυρέῳ.
Κἀκ νεκύων δ᾽ ἤχησεν ὁ τᾶς Σπάρτας μέγας ἥρως,
  Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
Ἀσπὶς μοὶ τύμβου κόσμος μέγας· ἔρρε τὰ Περσῶν,
  Ἥξω κ᾽ εἰς Ἀΐδην ὡς Λακεδαιμόνιος.

V.

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοιζῷ,
  Μήτε τεὸν γνάμψῃ φροντὶς ἐλευθερίην.

Πᾶς

Πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις,
Τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
Ἡ δ' ἀρετὴ σταθερόν τι καὶ ἄτροπον· ἧς ἔπι μοῦνος
Κύματα θαρσαλέως ποντοπόρει βιότου.

VI.

Ἐλθὼν εἰς Ἀΐδην, ὅτε δὴ σοφὸν ἔλυσε γῆρας
Διογένης ὁ Κύων Κροῖσον ἰδὼν ἐγέλα,
Καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου
Τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
Εἶπεν, ἐμοὶ καὶ νῦν πλείων τόπος, ὅσσα γὰρ εἶχον
Πάντα φέρω σὺν ἐμοί, Κροῖσε· σὺ δ' οὐδὲν ἔχεις.

VII.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν· ἐκ γὰρ ἐμεῖο
Οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ σταφυλή.
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ στεινὸν ῥεῦν ὀχετευσάμενος.
Ἐκ δὲ τοῦ εὖτε πίοιμι μέλαν ποτόν, ἔνθεος οἷα
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.

VIII.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσε
Παισί, λιθοβλήτου παίγνιον εὐστοχίης.
Πάντας δ' ἀκρέμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
Κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
Δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἦ γὰρ ἔγωγε
Δυσδαίμων ἐπ' ἐμὴν ὕβριν ἐκαρποφόρουν.

IX.

Ἰοτυπὴς Διὸς ὄρνις ἐπίσατο Κρῆτα φαρέτρης,
Οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος.
Κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα,
Ἠερόθεν πίπτων δ' ἔκτανεν ὡς ἔθανεν.
Μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι, Κρῆτες, ὀϊστοῖς
Εὔχεσθ', ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

X.

X.

Δορκάδος ἀρτιτόκοιο πιδυμητήϊον οὖθαρ
Ἔμπλεον εἰδῦσα· πικρὸς ἔτυψεν ἔχις.
Νεβρὸς δ' ἰσμυγῆ θηλὴν σπάσε καὶ τὸ δυσαλθὲς
Τραύματος ἐξ ὀλοοῦ λυγρὸν ἔβρωξε γάλα.
Ἀδὴν δ' ἠλλάξαντο· καὶ αὐτίκα νηλέϊ μοίρῃ
Ἣν ἔπορεν γαστὴρ, μαστὸς ἀφεῖλε χάριν.

XI.

Ταῦροι πρηΰτενοντες, ἀροτρευτῆρες ἀρούρης
Εἰν ἁλὶ τοὺς γαίης ἀντέχομεν καμάτους.
Αὔλακα τὴν ἀσίδηρον ἐν ὕδασιν ἕλκομεν ἄμφω
Μακροτενῶν σχοίνων ἅμμα σαγηνόδετον.
Ἰχθύσι δ' ἐκ σαγόνων λαβδόομεν οἱ ταλαεργοί,
Ἤδη κὰν πελάγει καρπὸν ἀροῦσι βόες.

XII.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος
Ἐκπροφυγεῖν μεμαὼς ῥηχιῶ ὀδόντα κυνός.
Ἀλλ' οὐδ' ὡς ἤλυξε κακὸν μόρον· αὐτίκα γάρ μιν
Εἰνάλιος μάρψας πνεύματος ἀρφάνισε.
Ἐκ πυρὸς, ὡς αἶνος, πέσες ἐς φλόγας. ἦ ῥά σε δαίμων
Κὴν ἁλὶ, κὴν χέρσῳ θρέψε κυνέσσι βορήν.

XIII.

Παμφάγος, ἐρπυστὴς κατὰ δώματα, λιχνοβόρος μῦς
Ὄστρεον ἀθρήσας χείλεσι πεπταμένον,
Πώγωνος δρεροῖο νόθην ἀδάξατο σάρκα,
Αὐτίκα δ' ὀστρακόεις ἐπλαταγήσε δόμος.
Ἡρμόσθη, δ' ὀδυνᾶισιν· ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις
Ληφθεὶς, αὐτοφόνον πότμον ἐπεσπάσατο.

XIV.

Εὔκολος Ἑρμείας, ὦ ποιμένες· ἔν τε γάλακτι
Χαίρων καὶ δρυΐνῳ σπενδομένῳ μέλιτι.

Ἀλλ'

'Αλ

'Αλ

Εἰπ

'Α

Χ'

Κοιν
Κ
Ἐξέ
Κ
Πλη
Ἔ

Φε
Ἀπλ
'Αλ
Δ

Πέ
Τὰς
Μέτ

Ἀλλ' οὐχ Ἡρακλέης· ἕνα δὲ κτίλον ἢ παχὺν ἄρνα
Αἰτεῖ. καὶ πάντως ἓν δύο ἐκλέγεται.
Ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον; εἰ τὸ φυλαχθὲν
Ὄλλυται, εἴτε λύκοις, εἴθ' ὑπὸ τοῦ φύλακος.

XV.

Εἶπέ ποτ' Εὐρώτας ποτὶ τὰν Κύπριν· ἢ λάβε τεύχη,
Ἢ 'ξιθι τᾶς Σπάρτας· ἁ πόλις ὁπλομανεῖ.
Ἁ δ' ἁπαλὸν γελάσασα, Καὶ ἔσσομαι αἰὲν ἄτευχης,
Εἶπε, καὶ οἰκήσω τὰν Λακεδαιμονίαν.
Χ' ἁ μὲν Κύπρις ἄνοπλος· ἀναιδέες οἱ δὲ λέγουσι
Ἵστορες, ὡς ἁμῖν χ' ἁ θεὸς ὁπλοφορεῖ.

XVI.

Κοινῇ πὰρ κλισίῃ ληθαργικὸς ἠδὲ φρενοπλὴξ
Κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
Ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης
Καὶ τὸν ἀναίσθητον παντὸς ἔτυψε μέλους·
Πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος· ἃς ὁ μὲν αὐτῶν
Ἔγρετο· τὸν δ' ὕπνῳ πουλὺς ἔλειψε κόπος.

XVII.

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος. ὅς ποτε λεπτῇ
Φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο.
Ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
Ἀλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
Αἰνείσθω δὲ καμὼν ἔργον μέγα, καὶ Διὸς εἶναι
Δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

XVIII.

…νογλύφης Πείσωνι τε τεχνήεντα κύπελλα
Πέμπει· χωροῦμεν δ' οὐρανὸν ἀμφότερα.
Δοιὰ γὰρ ἐκ σφαίρης τετμήμεθα· καὶ τὸ μὲν ἡμῶν
Τοὺς νοτίους. τὸ δ' ἔχει τείρεα τὰν Βορέη.
Ἀλλὰ σὺ μηκέτ' ἐς Ἄρκτον ἐπίβλεπε· δοιὰ δ' ἐν ἀμφοῖν
Μέτρα πιὼν, ἄθρει πάντα τὰ φαινόμενα.

XIX.

Κωμάζω, χρύσειον ἐς ἑσπερίων χορὸν ἄστρων
  Λεύσσων, οὐδ' ἄλλων λὰξ ἐβάρυνα χορούς.
Στέψας ἀνθοβόλον κρατὸς τρίχα, τὴν κελαδεινὴν
  Πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
Καὶ τάδε δρῶν εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτός
  Κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

XX.

Ἄβαλε χειμερίου με κατέκλυσε κύματα πόντου
  Δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
Αἰδέομαι σωθεῖσα. τί μοι πλέον ὅρμον ἱκέσθαι,
  Δευομένη φωτῶν πείσματα δυσμόρων·
Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος· ὤλεσα φῶτας
  Ὤλεσα· ναυηγοὶ δ' εἰσὶν ἔσω λιμένος.

XXI.

Ὁλκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον
  Καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
Ἣν ὁ μέλας οὔτ' ἀέρος ἐπόντισεν, οὔτ' ἐπὶ χέρσον
  Ἤλασε χειμερίων ἄγριον οἶδμα νότων.
Ἐν πυρὶ νῦν ναυηγὸς, ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ
  Νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

XXII.

Εἰς οἶνον ἀπὸ κριθῆς.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον
  Οὔ σ' ἐπιγινώσκω· τὸν Διὸς οἶδα μόνον.
Κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ τράγου· ἦ ῥά σε Κελτοὶ
  Τῇ πενίῃ βοτρύων, τεῦξαν ἀπ' ἀσταχύων.
Τῷ, σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
  Πυρογενῆ μᾶλλον· καὶ Βρόμον, οὐ Βρόμιον.

XXIII.

Αὐταῖς σὺν κίχλῃσιν ὑπὸ φραγμοῖο διωχθεὶς
  Κόσσυφος, ἠερίης κόλπον ἔδυ νεφέλης.

Κα
Ἱε
Ι

Ἀτ
Τ
Τὸν
Τ
Οὐχ
Ὁ

Ἡ
Π
Λυθ
Ἀ
Ἐξ
(Ε

Ἀνδ
Δε
Καὶ μ
Ἡ
Μαιον
Κο

Οὐκέτ
Ἀρ
Ἀλλὰ
Ἀντ
Γνω
Ἀρε

Καὶ τὰς μὲν συνεχηδὸν ἀνέκδρομος ὄχμασι θώμιγξ
Τὸν δὲ μόνον πλεκτῶν αὖθι μεθῆκε λίνων.
Ἱερὸν ἀοιδοπόλων ἐτύμως γένος· ἦ ἄρα πολλὴν
Καὶ κωφαὶ λιγυρῶν φροντίδ' ἔχουσι παγαί·

XXIV.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
Τέττιγα, πτανοῖς δαῖτα φέρεις τέκεσι.
Τὸν λάλον ἁ λαλόεσσα· τὸν εὔπτερον ἁ πτερόεσσα
Τὸν ξένον ἁ ξεινά· ἀεινὸν ἠερινά.
Οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
Ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασι.

XXV.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοῇσι
Πτωχὴ νῦν νυμφῶν μέχρι καὶ εἰς σταγόνα.
Λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
Ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράων.
Ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον· εἰς ἕνα Βάκχον
(Εἰποῦσαι) νύμφαι μισγόμεθ' οὐκ ἐς Ἄρη.

XXVI.

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰσέτι Τροίην
Δερκόμεθ' ἐκ βάθρων πᾶσαν ἐρειπομένην.
Καὶ μόθον Αἰάντειον ὑπὸ στεφάνῃσι πόληος·
Ἠδὲ τὸν ἐξ ἵππων Ἕκτορα συρόμενον,
Μαιονίδεω διὰ μοῦσαν, ὃν οὐ μία πατρὶς ἀοιδὸν
Κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

XXVII.

Οὐκέτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν
Ἄγριος ὁρμαίνει μυριόδους ἐλέφας·
Ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους
Ἄντυγα διφρουλκεῖ Καίσαρος οὐρανίου.
Ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν, ὄργανα ῥίψας
Ἄρεος, εὐνομίης ἀντανάγει πατέρα.

XXVIII.

Ξεῖνοι, τὴν πρέσβωτον ἐμὲ πόλιν, Ἴλιον ἱρὴν,
Τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
Αἰῶνος τέφρη κατεδήδοκεν· ἀλλ' ἐν Ὁμήρῳ
Κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
Οὐκέτι με σκάψει τρωοφθόρα δούρατ' Ἀχαιῶν·
Πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόμασι.

XXIX.

Ἕκτορ, ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴπου ἀκούεις,
Χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
Σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο· παρίστασο καὶ λέγ' Ἀχιλλεῖ
Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

XXX.

Παισὶν ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
Θεῖσα καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
Τέτρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
Ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος.
Οὐ θρέψω, λέξασα· τί γὰρ πλέον Ἄϊδι μαστοὶ
Κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

XXXI.

Οὗτος ὁ νῦν βέλτιστος Ὀλυμπικὸς εἶχε τοσείδαθεν
Ῥῖνα, γένειον, ὀφρῦν, ὠτάρια, βλέφαρα.
Εἶτ' ἀπογραψάμενος πύκτης ἀπολώλεκε πάντα,
Ὥς ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος.
Εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προσενήνοχεν αὐτοῦ
Καὶ κέκριτ' ἀλλότριος, μηδὲν ὅμοιον ἔχων.

XXXII.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαι
Καὶ πένταθλος Ὕλας καὶ σταδιεὺς Μενεκλῆς.

Ὑ

Ι

Ε

Σ

Ε

Τ

Μ

Ο

Τ

Π

'Α

Εἴ

Πα

Φα

Τίς μέλλει νικᾷν αὐτῶν τὸν ἀγῶνα, θέλοντες
Γνῶναι· κἀκεῖνος τοῖς ἱεροῖς ἐπιδών,
Πάντες, ἔφη, νικᾶτε· μόνον μή τις σε παρέλθῃ,
Καί σε παραστρέψῃ, καί σε παρατροχάσῃ.

XXXIII.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον καὶ πείρατα γαίης,
Ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον;
Σαυτὸν ἀρίθμησον πρότερον καὶ γνῶθι σεαυτόν·
Καὶ τότ' ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
Εἰ δ' ὀλίγον πηλὸν τοῦ σώματος οὐ καταριθμεῖς,
Πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

XXXIV.

Τὴν κεφαλὴν βάπτεις, γῆρας δ' οὔποτε βάψεις,
Οὐδὲ παρειάων ῥυτίδας ἐκτανύσεις.
Μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
Ὥστε προσωπεῖον, κ' οὐχὶ πρόσωπον ἔχειν.
Οὐδὲν γὰρ πλέον ἐστί· τί μαίνεαι; οὔποτε φῦκος
Καὶ ψίμυθος τεύξει τὴν Ἑκύβην Ἑλένην.

XXXV.

Τοῦ χρυσοῦ ῥητῆρος ὁρῶ τὴν ῥῖνα, Μένιππε·
Αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι,
Πλὴν ἥξει· μείνωμεν ὅμως· εἰ γὰρ πολύ, πέντε
Τῆς ῥινὸς σταδίους, οἴομαι, οὐκ ἀπέχει.
Ἀλλ' αὐτὴ μὲν (ὁρᾷς) προπορεύεται· εἰ δ' ἐπὶ βουνὸν
Ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

XXXVI.

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδίκει σύ,
Ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίην θέμενος.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρείσσονά φημι
Τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
Φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
Τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.

XXXVII.

Ἀσκὸν τῶν ἀνέμων ἔλαβέν ποτε δῶρον Ὀδυσσεὺς
Πόντον ἐπιπλώων· χρῆμα γὰρ ἦν τι μέγα.
Ἀλλ' ἐμὸς Αἴολος οὗτος ἔχων ἀνέμων πλέον ἕτερον
Ὄρνεον ἐκπέμπει τῶν ἀνέμων γεμίσας.
Πνεύματά μοι πτερόεντα φίλος καὶ πνεύματα πέμπεις.
Οὐ δύναμαι δὲ φαγεῖν θλιβομένους ἀνέμους.

XXXVIII.

Εἰ μὲν ἐπ' ἀττελάβους ἄγεται στρατὸς ἢ κωνομυίας
Ἢ μύας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων.
Γάϊε καὶ σὺ φοβοῦ, μὴ καί σέ τις ἐγκαταλέξῃ·
Ὡς ἂν τῶν τούτων ἄξιον ὄντα μάχης.
Εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἀτρέμας ἦσο,
Ῥωμαίοις οὐδεὶς πρὸς γεράνους πόλεμος,

XXXIX.

Πάντα καθ' ἱστορίην ὀρχούμενος, ἓν τὸ μέγιστον
Τῶν ἔργων παριδὼν ἠνίασας μεγάλως.
Τὴν μὲν γὰρ Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης·
Καὶ πάλιν ὡς Καπανεὺς ἐξαπίνης ἔπεσες.
Ἀλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς· ὅτι καὶ ξίφος ἦν σοι,
Καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

XL.

Ψυχὴν μὲν γράψαι χαλεπόν, μορφὴν δὲ χαράξαι
Ῥᾴδιον· ἀλλ' ἐπί σοι τοὔμπαλιν ἀμφότερα.
Τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα
Ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο.
Τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον καὶ σώματος ὕβριν
Πῶς ἄν τις γράψαι, μηδ' ἐσιδεῖν ἐθέλων;

XL.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀττικὰ ῥήματα πέντε
Εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾶν.

Οὐδ' ἂν γὰρ εἰ κάρκαιρε, καὶ εἰ κονάβει, τό τε σίζει,
Καὶ κελάρυζε, λέγεις· εὐθὺς Ὅμηρος ἔσῃ.
Νοῦν ὑποκεῖσθαι δεῖ τοῖς ῥήμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κοινοτέραν, ὥστε νοεῖν ἃ λέγεις.

XLII.

Ἤθελον ἂν πλουτεῖν ὡς πλούσιος ἦν ποτε Κροῖσος,
Καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης·
Ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγόν,
Καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
Ἀντλῶ τοὺς πάσας, καὶ ταῖς κοτύλαις ὑποβρέξας
Τὴν Ἀσίαν πωλῶ πρὸς μύρα καὶ στεφάνους.

XLIII.

Καὶ πῖνε καὶ τέρπου Δημόκρατες· οὐ γὰρ ἐς αἰεὶ
Πιόμεθ', οὐδ' αἰεὶ τέρψιος ἑξόμεθα.
Καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
Αὐτούς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
Νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά·
Νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

XLIV.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος ἐν διαθήκαις
Αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
Ψηφίζων δ' ἀνέκειτο, πόσον δώσει διεγερθεὶς
Ἰητροῖς μισθοῦ, καὶ τί νοσῶν δαπανᾷ.
Ὡς δ' εὗρε πλείω δραχμὴν μίαν ἢν διασωθῇ,
Λυσιτελεῖ θνήσκειν, εἶπε· καὶ ἐξετάθη·

XLV.

Ὄρνι Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἕστας
Γοργὸς ὑπὲρ μεγάλου τύμβον Ἀριστομένους;
Ἀγγέλλω μερόπεσσιν, ὅτ', οὕνεκεν, ὅσσον ἄριστος
Οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠιθέων.
Δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι·
Ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

XLVI.

Εἰς Θεμιστοκλέα.

Ἀντὶ τάφου λιτοῖο θὲς Ἑλλάδα, θὲς δ' ἐπὶ ταύτῃ
Δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας.
Καὶ τύμβῳ κρηπῖδα περίγραψε Περσικὸν Ἄρη,
Καὶ Ξέρξην· τούτοις θάπτε Θεμιστοκλέα.
Στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
Τἀμά· τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;

XLVII.

Τὰν Πιτάναν Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους
Ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
Δεικνὺς πρόσθια πάντα, τὸν αἱματόεντα δ' ὁ πρέσβυς
Παῖδ' ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τιθείς.
Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε, τέκνον, ἄδακρυς
Θάψω, τὸν καὶ ἐμόν, καὶ Λακεδαιμόνιον.

XLVIII.

Αἴλιος ὁ θρασύχειρ, Ἄργους πρόμος, ὀψὲ δηώσας
Αὐχένα χρυσοδέτοις ἐν πολέμῳ στεφάνοις,
Τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
Εἰς προτέρων ἔργων ἄρσενα μαρτυρίην.
Ὦσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον ἓν μόνον εἰπών,
Ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.

XLIX.

Οἱ δὲ τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι,
Αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον
Ἡρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
Εἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου.
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν, θάνατος.

L.

Γήρει καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
Οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον.

Τοῖς

Τοῖς ξυμεροῖς κώλοισιν ἐπήλυθον ἠρέμα τύμβον,
  Εὗρεν ὀϊζυροῦ τέρμα μόλις βιότου.
Ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος. οὐ γὰρ ἔθνησκον
  Πρῶτον, ἔπειτ' ἐτάφην, ἀλλὰ ταφεὶς ἔθανον.

LI.

Ναυηγὸν με δέδορκας· ὃν ἡ κλείνασα θάλασσα
  Γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο.
Ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσε,
  Τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
Κεῖνο μὲν ἐνδύσαιτο καὶ εἰν' Ἀΐδαο φέροιτο,
  Καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα φάρος.

LII.

Γριπέα τὸν πρέσβυν, τὸν ἁλιζύτου ἀπὸ κύμβης
  Ζῶντα, καὶ ἀγκίστροις καὶ μογέοντα λίνοις,
Ἐκ δείνου τρηχεῖα νότου κατέδυσε θάλασσα,
  Ἔβρασε δ' εἰς κροκάλην πετρίον ἠϊόνα
Χεῖρας ἀποβρωθέντα· τίς οὐ νόον ἰχθύσιν εἴποι
  Ἔμμεναι, οἳ μούνας, αἷς ὀλέκοντο, φάγον;

LIII.

Ἡ μία καὶ βιότοιο καὶ Ἄϊδος ἤγαγεν εἴσω
  Ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
Ἔτρεφεν ἰχθυβολοῦντα, κατέφλεγε τεθνειῶτα·
  Σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς Ἀΐδην.
Ὄλβιος ὁ γριπεὺς ἰδίῃ καὶ πόντον ἐπέπλει
  Νηΐ, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς Ἀΐδην.

LIV.

Ἠπείρῳ μ' ἀποδοῦσα νέκυν τρηχεῖα θάλαττα
  Σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.
Κὴν Ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος, οὐδ' ὅτι χέρσου
  Εἰρήνην ἕξω πειρακέης σπιλάδος.
Ἢ τύμβου κρύπτουσα καθ' ὕδατος, ἢ παραδοῦσα
  Γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.

LV.

LV.

Ἐκ γαιωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
Ἕλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
Νῶτα δὲ Τυρσηνοῖς ἐπάτευν ἁλός· ἀλλ' ἅμα νηῒ
Πλειωνιχθείς, κοίνης ὕδασιν ἐγκατέδυν.
Ἀθρόον ἐμβρίσαντος ἀήματος· οὐκ ἄρ' ἀλωὰς
Ωὑτὸς ἐπιπνείει κ' εἰς ὀθόνας ἄνεμος.

LVI.

Οἰκογενοῦς αἴλουρος ἐμὴν πέρδικ' ἀνελοῦσα
Ζώειν ἡμετέροις ἔλπεαι ἐν μεγάροις.
Οὔ σε, φίλη πέρδιξ, φθιμένην ἀγέραστον ἐάσω,
Ἀλλ' ἐπί σοι κτείνω τὴν σέθεν ἀντιβίην.
Ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω
Ὅσσ' ἐπ' Ἀχιλλῆος Πύρρος ἔρεξε τάφῳ.

LVII.

Νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου
Ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
Εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
Ἄγριον Ἀρχιλόχου φθέγμα Λυκαμβιάδες·
Πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
Νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

LVIII.

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
Αἱμάξας Ἑλικῶνα τὸν ἥμερον· οἶδε Λυκάμβης
Μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
Ἠρέμα δὴ παράμειψον ὁδοιπόρε· μήποτε τοῦδε
Κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

LIX.

Εἰ καὶ δακρυόεις, Εὐειπίδη, εἷλέ σε πότμος
Καί σε λυκορραισταὶ δεῖπνον ἔθεντο κύνες,

Τὴ

Τὴν σκηνῆς μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
  Τὴν σοφίῃ τραγικῇ μιξάμενον χάριτα.
Ἀλλ' ἔμολες πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
  Πιερίδων, ναίῃς ἀγχόθι Πιερίδων.

LX.

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
  Γῆ Μακεδὼν, ᾗ καὶ δέξατο τέρμα βίου.
Πατρὶς δ' Ἑλλάδος Ἑλλὰς Ἀθῆναι· πλεῖστα δὲ μούσαις
  Τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.
Οὐ σὸν μνῆμα τόδ' ἐστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε.
  Τῇ γὰρ σῇ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

LXI.

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι
  Χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον.
Αἲ, τὶ πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
  Ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
Φεῦ! στήλη φθιμένῳ κούφη μόλε· κεῖνος ἵν' εἴπῃ,
  Οὕτως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

LXII.

Διογένους τόδε σῆμα σοφοῦ κυνὸς, ὅς ποτε θυμῷ
  Ἄρσενι γυμνήτην ἐξεπόνησε βίον.
Ὧι μία τις πήρα, μία διπλοΐς, εἷς ἅμ' ἐφοίτα
  Σκίπων αὐτάρκους ὅπλα σαοφροσύνης.
Ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ' ἄφρονες· ὡς ὁ Σινωπεὺς
  Ἐχθαίρει φαῦλον πάντα καὶ εἰν ἀΐδῃ.

XLIII.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα, καὶ τὰ Νέρωνος
  Ἔργα δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
Ἥλιος Ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
  Κείνου, Γερμανίην δ' εἶδε κατερχόμενος.
Δισσὸν ἀειδείσθω πολέμου κράτος· οἶδεν Ἀράξης
  Καὶ Ῥῆνος δούλοις ἔθνεσι πινόμενοι.

LXIV.

LXIV.

Οὗτος ὁ Κεκροπίδαισι βαρὺς λίθος Ἄρεϊ κεῖμαι
Ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης.
Ὑβρίζων Μαραθῶνα καὶ ἀγχιάλου Σαλαμῖνος
Ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.
Ὄμνυε νῦν νέκυας, Δημόσθενες· αὐτὰρ ἔγωγε
Καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

LXV.

Δέρκεο μυριόμοχθε τεοὺς Ἡρακλες ἀγῶνας,
Οὓς τλὰς ἀθανάτων οἶκον Ὄλυμπον ἔβης.
Γηρυόνην, κλυτὰ μῆλα, μέγαν πόνον Αὐγείαο,
Πώλους. Ἱππολύτην, πουλυκάρηνον ὄφιν,
Κάπρον θωϋκλῆρα, Χάους κυνὰ, θῆρα Νεμείης,
Οἰωνοὺς, ταῦρον, Μαιναλίην ἔλαφον.

LXVI.

Ὤλεσα τὸν Νεμέας θῆρ᾽ ἄπλετον· ὤλεσα δ᾽ Ὕδρην
Καὶ ταῦρον, κάπρου δ᾽ ἀμφεπίναξα γένυν.
Ζωστῆρ᾽ ἑλκύσσας, πώλους Διομήδεος εἷλον,
Χρύσεα μῆλα, κλάσας Γηρυόνην, ἔλαβον.
Αὐγείαν ἐδάην· κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις.
Κέρβερον ἠγαγόμην· αὐτὸς Ὄλυμπον ἔχω.

LXVII.

Χείρ με Πολυκλείτου Θασίη κάμεν· εἰμὶ δ᾽ ἐκεῖνος
Σαλμωνεύς· βροντῆς ὃς Διὸς ἀντεμάνην.
Ὅς με καὶ εἰν αΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
Βάλλει, μισῶν μου κ᾽ οὐ λαλέοντα τύπον.
Ἴσχε Ζεῦ πρηστῆρα, μέθες χόλον· εἰμὶ γὰρ ἔμπνους
Ὁ σκοπός· ἀψύχοις εἰκόσι μὴ πολέμει.

LXVIII.

Κολχίδα τὴν ἐπὶ παισὶν ἀλάστορα, τραυλὲ χελιδὼν,
Πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;

Ἀνθρ
Ἀ
Τῆς φ
Α
Τῦτο
Ἐ

Αἰῶ
Π
Μήδ
Μ
Μ'
Ε

Ἰχθ
Ε
Οἰκ
Χ
Εὖφ

Σμ

Νό

Τό

LXXXII.

Ἄνθρωπον μοχθεῖτε τί, χείρονα, καὶ διὰ κέρδος
  Ἄπληστον νεικῶν ἄρχετε καὶ πολέμων;
Τῆς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
  Αἱ δὲ κεναὶ κρίσιες τὴν ἀπέραντον ὁδόν.
Τοῦτο Νεοκλῆος πινυτὸν γένος, ἢ παρὰ Μουσῶν
  Ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

LXXXIII.

Εἰς Βιβλιοθήκην.

Αἰῶνος σπείρημα ἀφυστάμενος εἰπ' ἐμεῖο
  Παιδείης μύθους γνῶθι παλαιγενέας.
Μήδ' ἐς Ὁμηρείην σελίδ' ἔμβλεπε, μήδ' ἐλεγείην,
  Μὴ τραγικὴν μοῦσαν, μήδε μελογραφίην.
Μὴ κυκλίων ζήτει πολύϊδριν στίχον· εἰς ἐμὲ δ' ἀθρῶν
  Εὑρήσεις ἐν ἐμοὶ πάνθ' ὅσα κόσμος ἔχει.

LXXXIV.

Ἰχθύας ἀγκίστρῳ τὶς ἀπ' ἠόνος εὔτειχι βάλλων
  Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
  Χειρὸς ἐπισκάπτων λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ καθθόμενον χρυσοῦ κλέαρ· ἦ ῥα δικαίοις
  Ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

LXXXV.

Σμίνθος ὁ παντοίης δαιτὸς λιχνός, οὔτε μυάγρης
  Δειλός, ὁ καὶ θανάτου κέρδεα ληϊζόμενος.
Νευρολάλου Φοίβου χορδὴν θρίσεν· ἡ δ' ἐπὶ πῆχυν
  Ἑλκομένη θηρὸς λαιμὸν ἀπεβρόχισε.
Τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ κατ' ἐχθρῶν
  Ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

LXXXVI.

LXXIII.

Ἕλκος ἔχω τὸν ἔρωτα, ῥέει δέ μοι ἕλκεος ἰχὼρ
Δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.
Εἰμὶ καὶ ἐν κακότητι ἀμήχανος, οὐδὲ Μαχάων
Ἤπιά μοι πάσσει φάρμακα ϐ δομβρόῳ.
Τήλεφός εἰμι, Κόρη· σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς·
Κάλλει σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

LXXIV.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνὴρ
Θάμβεεν εἰ λείβειν δάκρυον οἶδε λίθος.
Αὐτὰρ ἐμὲ στενάχοντα τόσης κατὰ νυκτὸς ὀμίχλην
Ἔμπνοος Εὐίππη οὐκ ἐλέαιρε λίθος·
Αἴτιος ἀμφοτέροισιν ἔρως ὀχετηγὸς ἀνίης,
Τῇ Νιόβῃ τεκέων· αὐτὰρ ἐμοὶ παθέων.

LXXV.

Ἠράσθης πλουτῶν, Σωσίκρατες· ἀλλὰ πένης ὢν
Οὐκέτ' ἐρᾷς· λιμὸς φάρμακον οἷον ἔχει!
Ἡ δὲ πάρος σε καλοῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν,
Ζηνοφίλα νῦν τοι τοὔνομα πυνθάνεται.
Τίς; πόθεν οὗτος ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως;
Τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

LXXVI.

Πέμπω σοι Ῥοδόκλεια, τόδε στέφος ἄνθεσι πλέξας
Αὐτὸς ὑφ' ἡμετέραις δρεψάμενος παλάμαις.
Ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
Καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
Ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα,
Ἀνθεῖς καὶ λήγεις, καὶ σὺ καὶ ὁ στέφανος.

LXXVII.

Νῦν μοι χαῖρε λέγεις ὅτε σοι τὸ πρόσωπον ἀπῆλθε
Κεῖνο τὸ τοῦ λυγδοῦ, βάσκανε, λειότερον.

Νῦν

LXXVIII.

Τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
Οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος οὐ δύναμαι.

Imitated by Prior.

Since I am not what I was
What from this Day I shall be,
Venus let me never see.

see the Rambler N.o 1.3.

Νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας [illegible]άνικάς σὺ
Τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας.
Μηκέτι μοι, μετέωρε, προσέρχεο, μηδὲ ζωάντα·
Ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

LXXVIII.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφὴν,
Γηραλέων στυγέει μαρτυρίην ῥυτίδων.
Ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
Ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
Ἀλλὰ σύ μοι, Κυθέρεια, δέχου νεότητος ἑταῖρον
Δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον οὐ τρομέει.

LXXIX.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ' οὐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
Ἤϊξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
Γ[illegible]σάμενος δὲ φόνοιο παρὰ δρυῒ τῇδε φαρέτρην
Σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

LXXX.

Νῆά σοι, ὦ πόντου βασιλεῦ καὶ κοίρανε γαίης,
Ἀντίθεμαι Κράντος μηκέτι τεγγομένην.
Νῆα πολυπλανέων ἀνέμων πτερόν· ἧς ἔπι δειλὸς
Πολλάκις ᾠϊσάμην εἰσελάαν Ἀΐδην.
Πάντα δ' ἀπειπάμενος φόβον, ἐλπίδα, πόντον, ἀέλλας
Πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

LXXXI.

Φθέγγετ' Ἀρισάρχειοι ἐπ' εὐρέα νῶτα θαλάσσης
Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος·
Γωνιοβόμβυκες μονοσύλλαβοι, οἷσι μέμηλε
Τὸ σφὶν καὶ σφῶϊν, καὶ τὸ μὶν ἠδὲ τὸ νίν·
Τοῦθ' ὑμῖν εἴη δυσπέμφελον· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

Ἧς ἔτι κανθὸς ὑπ' ὄμματος ἐπαστράπτει φόνιον πῦρ,
Καὶ πολιὸς γενύων ἀφρὸς ἀποσταλάει.
Ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ' αἵματι· φεῦγε πανάλη
Μητέρα· κἂν κηρῷ οἶδεν ἔτι τεκνοφονεῖν.

LXIX.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάττας
Κύπριν, Ἀπελλείης μόχθον ὅρα γραφίδος.
Ὡς χερὶ συμμάρψασα διάβρεχον ὕδατι χαίταν,
Ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.
Αὐταὶ νῦν ἐρέουσιν Ἀθήναίη τε καὶ Ἥρη
Οὐκέτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

LXX.

Λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
Οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην.
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
Ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ· πλῆσον ἀρούρας,
Μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

LXXI.

Σεῖο πολυκλήεντα τύπον στήσαντο, Χερωνεῦ
Πλούταρχε, κρατερῶν υἷες Αὐσονίων.
Ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
Ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
Οὐδὲ σύ γ' ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

LXXII.

Ἡ πήρη καὶ χλαῖνα καὶ ὕδατι πληθεῖσα
Μᾶζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
Καὶ δέπας ἐκ κεράμοιο, σοφῷ Κυνὶ μέτρα βίοιο
Ἄρκια· καὶ τούτοις ἦν τι περισσότερον.
Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην
Εἶπε, τί καί σε μάτην ὄστρακον ἠχθοφόρουν;

'Ιη

Κα

Τὸ

Ἐκ

Πᾶ

Φθ

Θε

Ὅς

Πλ

LXXXVI.

Ἰητρὸς Κρατέας καὶ Δάμων ἐνταφιαστὴς
   Κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
Καί ῥ' ὁ μὲν οὓς κλέπτεσκεν ἀπ' ἐνταφίων τελαμῶνας
   Εἰς ἐπιδεσμίδιον πέμπε φίλῳ Κρατέᾳ.
Τὸν δ' ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν
   Πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

LXXXVII.

Ἕκτορι μὲν Τροίη συγκάτθανεν, οὐδ' ἔτι χεῖρας
   Ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις.
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο· πατρίδες ἄρα
   Ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.
Φθιμένους δ' ἀμφοτέρους ψευδὴς φάτις, εἴπερ ἀληθὴς
   Φοῖβος· ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

LXXXVIII.

Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται,
   Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς.
Ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
   Φῶτας ἀπέστρεψεν Περσεφόνας θαλάμων.
Πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις Ὑγιείης,
   Δόξαν ἑλὼν πολλὴν οὐ τύχῃ, ἀλλὰ τέχνῃ.

I.

Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα,
Πρῶτος Μῆνιν ἔχει, δεύτερος Οὐλομένην.
Καὶ μετὰ δ' Οὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολ-
Ὁ τρίτατος ψυχὰς εἰς Ἀΐδην κατάγει. (λά,
Τοῦ δὲ τεταρταίου τὰ Ἑλώρια καὶ κύνες ἀργοί,
Πέμπτου δ' οἰωνοὶ καὶ χόλος ἐστὶ Διός.
Πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
Καὶ πέντε πτώσεις μὴ μέγα πένθος ἔχειν.

II.

Ἀγγελίην παρὰ Ζηνὸς ἐπεὶ φέρεν ἠεροδινής,
Αἰετός, οἰωνῶν μοῦνος ἐνουράνιος,
Οὐκ ἔφθη τὸν Κρῆτα· θοῶς δ' ἐνετείνατο νευρήν·
Πτηνὸν δ' ὁ πτερόεις ἰὸς ἐληΐσατο.
Ζηνὸς δ' οὐπ δίκην ἔλαθεν νόμος, ἔμπεσε δ' ὄρνις
Ἀνδρί· τὰ δ' εὐστοχίης ἀντεπέπτε βέλη,
Αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἥπατι κοίμισεν αὖτις.
Ἓν δὲ βέλος δισσῶν αἷμ' ἔπιεν θανάτων.

III.

Πένθιμον ἡνίκα παρεὶ Πολυξείνης Ὑμέναιον
Ἤνυσεν ὀγκωτοῦ Πύῤῥος ὕπερθε τάφου.
Ὧδε πολυκλαύστοιο κόμας λακίσασα καρήνου
Κισσηῒς τεκέων κλαῦσε φόνους Ἑκάβη.
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς,
Νῦν δὲ Πολυξείνης αἷμα δέχῃ φθίμενος.
Αἰακίδη τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδύν;
~~Παισὶν ἔφυς γὰρ ἐμοῖς ἧττος οὐδὲ νέκυς.~~

IV.

Τίπτε με τὸν φιλέρημον ἀναιδέϊ ποιμένες ἄγρῃ
Τέττιγα δροσερῶν εἵλετ' ἀπ' ἀκρεμόνων;

Τὴν νυμφῶν παροδῖτιν ἀηδόνα, καύματι μέσσῳ
  Οὔρεσι καὶ σκιεραῖς ξουθὰ λαλεῦντα νάπαις,
Ἤνιδε καὶ κίχλην καὶ κόσσυφον, ἤνιδε πάσας
  Ψᾶρας ἀγρευαίης ἅρπαγας εὐπειθείης.
Καρπῶν δηλητῆρας ἑλεῖν θέμις· ὄλλυτ' ἐκείνους.
  Φύλλων καὶ χλοερῆς τίς φθόνος ἐστὶ δρόσου;

V.

Βωλοτόμοι μύρμηκες ὁ γῆς στρατός, ἡνίκ' ἐσύλων
  Γειομόρου μελιχρὴν Σιμωνοδόκου χάριτα,
Μηνίσας ὁ πρέσβυς ἐς ὕδατα κρωσσὸν ἔβαψε,
  Ἐνθάδε τοὺς ἀπὸ γῆς οὐ δοκέων πελάσειν.
Οἱ δὲ νέας κούφας ἀχυρωτίδας ἀντιφέροντες
  Αὐτοκυβερνητὶ πρὸς τάχος ἐτρόχασαν.
Ἦ ῥα φίλη γαστὴρ καὶ βαιοτάτους ἀνέπεισεν
  Ἐκ χθονὸς εἰς νύμφας καινοτάτους ἐρέτας.

VI.

Τέσσαρες αἰωρεῦσι τανυπτερύγων ἐπὶ νώτων
  Νῖκαι ἰσηρίθμους υἱέας ἀθανάτων.
Ἁ μὲν Ἀθηναίαν πολεμηδόκον· ἁ δ' Ἀφροδίταν,
  Ἁ δὲ τὸν Ἀλκείδαν, ἁ δ' ἀνίκατον Ἄρη,
Σεῦο κατ' ὀρόφον γραπτὸν στέγος, ἐς δὲ νέονται
  Οὐρανόν, ὦ Ῥώμας Γαῖε πάτρας ἔρυμα.
Θείη ἀνίκατον μὲν ὁ βουφάγος, ἁ δέ γε Κύπρις
  Εὔγαμον, εὔμητιν Παλλὰς, ἄτρεστον Ἄρης.

VII.

Γηραρότης Ἄρχιππος, ὅτ' ἐκ νούσοιο βαρείης
  Ἄρτι λιποψυχέων ἔρρεεν εἰς ἀΐδην,
Εἶπε τάδ' υἱήεσσι· ὦ φίλτατα τέκνα, μάκελλαν
  Καὶ τὴν ἀροτρητὴν στέρξατέ μοι βιοτάν.
Μὴ σφαλερῆς αἰνεῖτε πόνον κρυόεντα θαλάσσης,
  Καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.

Ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
Τόσσον ἄλλης πόλιος γαῖα ποθεινοτέρη.

VIII.

Ἀγγελίης ἤκουσεν ἀνωΐστου Μελίττη
Υἱέα σῷ φόρτῳ κύματι κρυπτόμενον.
Ἠϊόσιν δ' ἐπικέλσε ἀλίκλυστον δέμας ἄλλου
Δύσμορος οἰκείης σύμβολον εἶδε τύχης.
Υἱέα δ' ὡς ἔστειλε· Δίων δ' ἐπὶ νηὸς ἀθραύστου
Ἤλυθεν ἐς γαίην σῶος ἀπ' ἐμπορίης.
Μητέρες ὡς ἀνίσου μοίρης λάχον! ἡ μὲν ἄελπτον
Σῶον ἔχει· κείνη δ' ὄψεται οὔτε νέκυν.

IX.

Διάλογος.

Δέξαι, Φοῖβε, τὸ δεῖπνον ὅ σοι φέρω· Ἤν τις ἐάσῃ
Δέξομαι. Εἶτα φοβῇ καὶ σύ γε Λητοΐδη;
Οὐδένα τῶν ἄλλων πλὴν Ἄρριον. οὗτος ἔχει γάρ
Ἅρπαγος ἰκτίνου χεῖρα κραταιοτέρην
Ἀκνίσου βωμοῖο νεωκόρος. ἢν τελέσῃ δὲ
Τὴν πομπὴν, ἄρας ᾤχεθ' ἅπαντα πάλιν.
Ἐν Διὸς ἀμβροσίῃ πολλὴ χάρις· εἷς γὰρ ἂν ὑμέων
Ἤμην, εἰ λιμοῦ καὶ θεὸς ἠσθάνετο.

X.

Τρεῖς λεπτοὶ σοφοὶ περὶ λεπτοσύνης ἐμάχοντο
Τὶς προκριθεὶς εἴη λεπτολεπτότερος.
Ὧν ὁ μὲν εἷς Ἑρμῶν μεγάλην ἐνεδείξατο τέχνην,
Καὶ διέδυ ῥαφίδος τρῆμα λίνον κατέχων.
Δημᾶς δ' ἐκ τρώγλης βαίνων ἐς ἀράχνιον ἔστη,
Ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασε.
Σωσίπατρος δ' ἐβόησεν, Ἐμὲ στεφανώσατ'. ἐγὼ γάρ
Εἰ βλέπομ', ἢ τι λημῶ; πνεῦμα γάρ εἰμι μόνον.

XI.

XI.

χοιρίδιον, ϗ βοῦν ἀπολώλεκα, ϗ μίαν αἶγα,"
  Ὧν χάριν εἴληφας μισθάριον Μενέκλεις.
Οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται.
  Οὔτ᾽ ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν.
Ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
  Ἐνθάδε μοι Ξέρξης ϗ Λακεδαιμόνιοι;
Πλὴν κἀμοῦ μνήσθητι, νόμου χάριν· ἢ μέγα κράξω
  Ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον.

XII.

Τοῦ πωγωνοφόρου Κυνικοῦ τοῦ βακτροπροσαίτου
  Εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
Θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο ϗ ῥαφανίδων,
  Μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
Εὖτε δ᾽ ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
  Στρυφνόν, ὃ πινυτὸν ἤδη ἔκλεπτε νόον.
Ἤιτησεν παρὰ προσδοκίαν ϗ ἔτρωγεν ἀληθῶς,
  Κ᾽ οὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

XIII.

Μύγδων τέρμα βίοιο λαχὼν αὐτόστολος ἦλθεν
  Εἰς ᾅδην, νεκύων πορθμίδος οὐ χατέων.
Ἦν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων,
  Ἄγρας εἰναλίαις πολλάκι βενθοβόλου,
Τὴν δὲ ϗ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
  Εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
Οὕτω πιστὸν ἄνακτι τέλε σκάφος, οἶκον ἀέξον
  Μύγδονι, ϗ σύμπλουν ἐς βίον, ἐς θάνατον.

XIV.

Ἡ Βρόμιον στέρξασα πολὺ πλέον ἢ τροφὸς Ἰνώ,
  Ἡ λάλος ἀμπελίνη γρηῦς Ἀριστομάχη,
Ἡνίκα τὴν ἱερὴν ὑπέδυ χθόνα· πᾶν δ᾽ ἐμαράνθη
  Πνεῦμα, πάρος κυλίκων πλεῖστον ἐπαιρομένη,

Εἶπε τάδε Μίνωϊ· πάλαι φέρε κάλπιν ἐλαφρὴν,
  Οἴσω κυάνεον τοῦ Ἀχέροντος ὕδωρ.
Καὐτὴ παρθενίην γὰρ ἀπώλεσα· τοῦτο δ' ἔλεξεν
  Ψευδὲς, ἵν' αὐγάζῃ κἀν φθιμένοισι πίθον.

XV.

Οὐ μὲν νέκυς ναυηγὸς ἐπὶ χθόνα θῆκεν ἐλασθεὶς
  Κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.
Ἦ γὰρ ἁλιρρήκτοις ὑπὸ χοιράσιν ἀγχόθι πόντου
  Δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου.
Αἰεὶ δὲ βρεμόοντα καὶ ἐν νεκύεσσι θαλάττης
  Ὁ τλήμων αἴω δοῦπον ἐπερχόμενον.
Μόχθων δ' οὐκ Ἀΐδης με κατεύνασεν, ἡνίκα μοῦνος
  Οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ·

XVI.

Ἅδης πρὸ σύλληψιν ἐμῆς νεότητος ὀπώρην,
  Κρύψε μὲν παντοπόρῳ μνήματι τῷδε λίθος.
Οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερίοιο,
  Μητρὸς δ' ἐξ ἀγαθῆς, ἀλλὰ μάτην γενόμην.
Ἐς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἄνθος ἐλάσας,
  Φεῦ, σοφὸς εἰς Ἀΐδην, καὶ νέος εἰ ἔρεβος.
Κώκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρὸν, Ὁδῖτα,
  Εἴτε ποτὲ φώτων ἧς παῖς εἴτε πατήρ.

XVII.

Οὐκέτι θελγομένας Ὀρφεῦ δρύας, οὐκέτι πέτρας
  Ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας,
Οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
  Οὐ νιφετῶν συρμοὺς, οὐ παταγεῦσαν ἅλα.
Ὤλεο γάρ. σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
  Μνημοσύνης, μάτηρ δ' ἔξοχα Καλλιόπη.
Τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἁνίκ' ἀλάλκειν
  Τῶν παίδων ἀΐδαν οὐδὲ θεοῖς δύναμις.

XVIII.

Ἴβυκε, λῃσταί σε κατέκτανον ἔκ ποτε νήσου
Βάντες ἐρημαίην ἄστιβον ἠϊόνα.
Πόλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
Μάρτυρες, ἄλγιστον ὀλλυμένῳ θάνατον.
Οὐδὲ μάτην ἰάχησας· ἐπεὶ ποινή τις Ἐριννὺς
Τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
Σισυφίην κατὰ γαῖαν. Ἰὼ φιλοκερδέα φῦλα
Ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;

XIX.

Παυρεπὴς Ἤριννα καὶ οὐ πολύμυθος ἀοιδαῖς
Ἀλλ' ἔλαχεν μούσης τοῦτο τὸ βαιὸν ἔπος.
Τοιγάρ τοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι.
Αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
Μυριάδες λήθῃ (ξεῖνε) μαραινόμεθα.
Λωΐτερος κύκνου μικρὸς θρόος ἠὲ κολοιῶν
Κρωγμὸς ἐν εἰαρειναῖς κιδνάμενος νεφέλαις.

XX.

Ἔρως δέσμιος.

Κλαῖε δυσεκφύκτως σφιγχθεὶς χέρας, ἄκριτε δαῖμον,
Κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα.
Σωφροσύνας ὑβρισά, φρενοκλόπε, λῃστὰ λογισμοῦ,
Πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον, Ἔρως·
Θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς (ἄκριτε) δεσμός,
Ὦ σφιγχθεὶς κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
Ὃν δὲ βροτοῖς ἀφύλακτον ἐνέπλεξας ἐν φρεσὶ πυρσόν,
Ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

XXI.

Ψιττακὸς ὁ βροτόγηρυς ἀφεὶς λυγοτευχέα κύρτον
Ἤλυθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.

Αἰεὶ δ' ἐμμελετῶν ἀσπάσμασι Καίσαρα κλεινόν
Οὐδ' ἂν ὄρη λήθην ἤγαγεν οὐνόματος.
Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνός, ἐρίζων
Τίς φθήσαι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν; ἐς δέ σε, Καῖσαρ,
Νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

XXII.

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
Οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον.
Οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα,
Οἱ δέ νυ τὴν Λαπιθῶν μητέρα Θεσσαλίην.
Ἄλλοι δ' ἄλλην γαῖαν ἀνίαχον. εἰ δὲ με Φοίβου
Χρὴ λέξαι πινυτᾶς ἄνδιχα μαντοσύνας,
Πάτρα σοι τελέθει μέγας οὐρανός· ἐκ δὲ τεκούσης
Οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

XXIII.

Χρυσῆς εἰρύσασα μίαν τρίχα Δωρὶς ἐθείρης
Οἷα δορυκτήτους δῆσεν ἐμὰς παλάμας.
Αὐτὰρ ἐγὼ τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος.
Ὡς δὲ διαῤῥῆξαι σθένος οὐκ ἔχον, ἔστενον ἤδη,
Οἷά τε χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
Καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι,
Δεσπότις ἔνθ' ἐρύσῃ πυκνὰ μεθελκόμενος.

XXIV.

Κεκρύφαλοι σφίγγουσι τεὴν τρίχα; τήκομαι οἴστρῳ
Ῥείης πυργοφόρου δείκελον εἰσορόων.
Ἀσκεπές ἐστι κάρηνον; ἐγὼ ξανθίσματι χαίτης
Ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
Ἀργενναῖς ὀθόνῃσι κατήορα βόστρυχα κεύθεις;
Οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.

Μορφὴν

Septenis patriam Sapientum, nomina, voces
Versibus expediam: sua quemque Monosticha dicent.
Chilo, cui patria est Lacedaemon, Noscere seipsum.
Periander, trepidam moderari Corinthius Iram.
Ex Mitylenaeis, Nimium nil, Pittacus oris.
Mensuram optimam [illegible]
Expectare Solon finem docet, ortus Athenis.
Plures esse Bias pravos, quem clara Prien[e]
[illegible]ti, fugisse Thales vadimonia, alumn[illegible]

Μορφὴν τριχθαδίην χαρίτων τρίας ἀμφιπολεύει.
  Πᾶσα δέ μοι μορφὴ πρὸς ἴδιον παρέχει.

XXV.

Αὐτῷ τοι πρὸς ὄλυμπον ἐμακιώαντο Κολοσσὸν
  Τόνδε Ῥόδου ναέται Δωρίδος, Ἀέλιε,
Χάλκεον ἁνίκα κῦμα καταυνάσαντες Ἐνυοῦς
  Ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ὑπὲρ πελάγους μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
  Ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίας.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλης
  Πάτριος ἐν πόντῳ κἠν χθονὶ κοιρανίη.

XXVI.

Τοῖος ἔην Μίλων, ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος
  Τετραετῆ δάμαλιν ἐν Διὸς εἰλαπίναις,
Ὤμοις δὲ κτῆνος τὸ πελώριον, ὡς νέον ἄρνα,
  Ἤνεγκεν δ' ὅλης ῥίμφα πανηγύρεως.
Καὶ θάμβος μέν· ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα,
  Πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
Ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
  Κόψας, πάντα μιᾷ μοῦνος ἔδαισε βορῇ.

XXVII.

Ἑπτὰ σοφῶν ἐρέω κατ' ἔπος, πόλιν, οὔνομα, φωνήν.
ΜΕΤΡΟΝ μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ΑΡΙΣΤΟΝ.
Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι, ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ,
Ὃς δὲ Κόρινθον ἔναιε, ΧΟΛΟΥ ΚΡΑΤΕΕΙΝ, Περίανδρος.
Πιττακός, ΟΥΔΕΝ ΑΓΑΝ, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
ΤΕΡΜΑ δ' ΟΡΑΝ ΒΙΟΤΟΙΟ, Σόλων ἱεραῖς ἐν Ἀθήναις,
ΤΟΥΣ ΠΛΕΟΝΑΣ ΚΑΚΙΟΥΣ δὲ Βίας ἀπέφηνε Πριηνεύς.
ΕΓΓΥΗΝ ΦΕΥΓΕΙΝ δὲ Θαλῆς Μιλήσιος ηὔδα.

XXVIII.

XXVIII.

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλῃσιν ἔπαιζον
Κλήρῳ, τίς προτέρη βήσεται εἰς Ἀΐδην.
Καὶ τρεῖς μὲν χειρῶν ἔβαλον κύβον· ἦλθε δὲ πασέων
Εἰς μίαν, αἱ δ' ἐγέλων κλῆρον ὀφειλόμενον.
Ἐκ τέγεος δ' ἄρ' ἄελπτον ἀπωλίσθησε πέσημα
Δύσμορος· εἰς Ἀΐδην δ' ἤλυθεν ὡς ἔλαχεν.
Ἀψευδὴς ὁ κλῆρος ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
Οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρες.

XXIX.

Ἡ ῥὶς Κάστορός ἐστιν ὅταν σκάπτῃ τι, δίκελλα·
Σάλπιγξ δ', ἂν ῥέγχῃ· τῇ δὲ τρύγῃ δρέπανον.
Ἐν πλοίοις ἄγκυρα· κατασπείροντι δ' ἄροτρον·
Ἄγκιστρον ναύταις· ὀψοφάγοις κρεάγρα.
Ναυπηγοῖς κένδυλα· γεωργοῖς δὲ πρασόκουρον.
Τέκτοσιν ἀξίνη. τοῖς δὲ πυλῶσι κόραξ.
Οὕτως εὐχρήστου σκεύους Κάστωρ τετύχηκε,
Ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίης.

XXX.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν
Νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
Φροντίδες· ἐν δ' ἀγροῖς καμάτων ἅλις. ἐν δὲ θαλάσσῃ
Τάρβος· ἐπὶ ξείνης ἢν μὲν ἔχῃς τι, δέος,
Ἢν δ' ἀπορῇς, ἀνιαρόν· ἔχεις γάμον; οὐκ ἀμέριμνος
Ἔσσεαι· οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερον.
Τέκνα πόνοι· πήρωσις ἄπαις βίος· αἱ νεότητες
Ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
Ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

XXX. imitated.

To Samuel Johnson Esqr. D.C.L.

1.

My first kind Tutor, whose soft Call
Led me at Learning's Shrine to bend,
Since Happiness is sought by all,
How best to attain that wish'd for End
Teach your Pupil and your Friend.

2.

Shall I still haunt the ambitious Bar
Where modest Worth must often fail;
And Justice is with Scorn at War?
Shall I for this quit Isis' Vale?
Shall I for this grow nightly pale?

3.

Shall I, by Fashion's Torrent born,
Wildly resolve abroad to rove,
Where Wealth breeds Snares, & Want breeds Scorn?
Shall I for this quit New Inn Grove
And each sequester'd Scene I love?

Shall I

4.

Shall I to enjoy my Hall and Wife
Quit Splendor, Gaiety and Power,
To pass in Household Cares my Life?
Or shall I wear out Hour by Hour
A solitary Batchelour?

5.

Children are Plagues, and surely he
Who wishes to be plagued is bold;
Wives too are Plagues, and yet to be
Without or Wife or Child when old
Must make Age comfortless and cold.

6.

Shall I then in Despair conclude
That every one who breaths must mourn,
That Happiness is vainly woo'd,
And that to have lived without a Thorn
Mortals should die as soon as born?

R.L.

XXXI.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν
Κήδεα καὶ πινυταὶ πρήξιες. ἐν δὲ δόμοις
Ἄμπαυμ'· ἐν δ' ἀγροῖς φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
Κέρδος· ἐπὶ ξείνης ἢν μὲν ἔχεις τι, κλέος.
Ἢν δ' ἀπορῇς, μόνος οἶδας· ἔχεις γάμον; οἶκος ἄριστος
Ἔσσετ'. οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
Τέκνα πόθος. ἄφροντις ἄπαις βίος. αἱ νεότητες
Ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

XXXII.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον Αἰετὸς ἵππων,
Ὁ πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος,
Ὃν Φοῖβος χρησμῳδὸς ἀέθλιον ἔστεφε Πυθοῖ
Ὀρνυμένον πτανοῖς ὠκυπέταις ἴκελον.
Καὶ Νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
Πῖσά τε καὶ διαὶς ἠόνας Ἰσθμὸς ἔχων.
Νῦν κλοιῷ δειρὴν πεπεδημένος οἷα χαλινῷ
Καρπὸν ἐλᾷ Δηοῦς ὀκριόεντι λίθῳ.
Ἴσην μοῖραν ἔχων Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
Τόσσ' ἀνύσας δούλην ζεύγλαν ἐφηρμόσατο.

XXXIII.

Ἵππος Καπίτων Χρύσην ἐνέχειρεν ὁρῶντα
Ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
Ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν,
Φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
Νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
Καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
Ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει. ἀντὶ δὲ τῆς πρὶν
Ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.

Αν

Ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
Οὐκ ἔτι μή ποτ' ἴδῃ πλησίον ἑστότα.

XXXIV.

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψε,
Ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ μῆνιν ἄειδε, καὶ ἄλγεα μυρί' ἔθηκε
Ἔγνω, καὶ τὸ τρίτον τοῖς δ' ἀκόλουθον ἔπος,
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν.
Οὐκέτι μιν πέμπει πρός με μαθησόμενον.
Ἀλλά μ' ἰδὼν ὁ πατήρ, σοὶ μὲν χάρις (εἶπεν) ἑταῖρε.
Αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
Καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
Καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

XXXV.

Ταντταλὶς ἅδε, ποχ' ἅδε· δὶς ἔφθ' ἡ τέκνα τεκοῦσα
Γαστρὶ μιῇ, Φοίβῳ θῦμα καὶ Ἀρτέμιδι.
Κούρα μὲν προὔπεμψε κόραις φόνον, ἄρσεσι δ' ἄρσην,
Δισσοὶ γὰρ δισσὰς ἔκτανον ἑβδομάδας.
Ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις
Οὐδ' ἐφ' ἑνὶ τλάμων λείπετο γηροκόμῳ.
Μάτηρ δ' οὐχ' ὑπὸ παισὶν (ὅπερ θέμις) ἀλλ' ὑπὸ ματρὸς
Παῖδες ἐς ἀλγεινοὺς πάντες ἄγοντο τάφους.
Τάνταλε καὶ δὲ σε γλῶσσα διώλεσε καὶ σέο κούραν.
Χἁ μὲν ἐπετρώθη. σοὶ δ' ἔτι δεῖμα λίθος.

XXXVI.

Λάζεο τιμήεσσα Κυθηρείας ὑμνοπόλοιο
Αἶψα τάδε κλειτοῦ δῶρα Λεωνίδεω.
Πεντάδα τὰν σταφυλῆς εὐρωγέα, καὶ μελιηδὲς
Πρώϊον εὐφύλλων σῦκον ἀπ' ἀκρεμόνων,
Καὶ ταύτην ἀπέταλον ἁλιννήκτειραν ἐλαίην,
Καὶ ψαιστῶν ὀλίγον δρῆγμα πενιχραλέον

Κα

Εἰ

Οἰ

Εἰ

Ἀ

Εἰ

Ἀ

Τ

Π

Ἠ

Ν

Ἐ

Ἀ

Κ

Ὁ

Καὶ σταγόνα σπονδῇσιν ἀεὶ θυέεσσιν ὀπηδὸν
Τῆς κύλικος, βωμοῦ πυθμένι κιρναμένην.
Εἰ δ' ὡς μοι βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
Καὶ πενίην, δώσω πάλεον χίμαρον.

XXXVII.

Οὔπως ἀλοιητῆρας ἰδεῖν τέτληκεν ὀδόντας
Ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ.
Εἰ γὰρ ἀεὶ βούβρωστιν ἔχεις Ἐρεσίχθονος αὐτοῦ,
Ναὶ τάχα δαρδάψεις τὸν φίλον ὃν καλέεις.
Ἀλλ' οὐ σεῖο μέλαθρα δέξεται, οὐ γὰρ ἔγωγε
Βήσομ' ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμενος.
Εἰ δὲ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μέγ' ἄνυσσε
Λ' ρπάδης Σκύλλης χάσμασιν ἀντιάσας.
Ἀλλ ἔσομαι πολύτλας τις ἐγὼ πλέον. εἰ σε περήσω
Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

XXXVIII.

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
Ὕμνοις, καὶ Μακεδὼν Πιερίας σκόπελος.
Πρήξιλλαν, Μυρώ, Ἀνύτης στόμα θῆλυν Ὅμηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων.
Ἤρινναν, Θελέσιλλαν ἀγακλέα, καὶ σε Κόριννα,
Θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμένην.
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
Πάσας ἀενάων ἐργάτιδας σελίδων
Ἐννέα μὲν μούσας μέγας Οὐρανός· ἐννέα δ' αὐτὰς
Γαῖα τέκε θνατοῖς ἄφθιτον εὐφροσύναν.

XXXIX.

Ἀνδροφόνου σαθρὸν παρὰ τειχίον ὑπνώοντι
Νυκτὸς ἐπιστῆναι φασὶ Σάραπιν ὄναρ.
Καὶ χρησμῳδῆσαι, κατακείμενος οὗτος ἀνίστω,
Καὶ κοιμῶ μεταβάς (ὦ τάλας) ἀλλαχόθι.
Ὃς δὲ διυπνισθεὶς μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
Τειχίον ἐξαίφνης λυτὸν ἔκειτο χαμαί·

Σῶστρα δ' ἔσωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος;
 Ἡδέως νομίσας τὸν θεὸν ἀνδροφόνοις.
Ἀλλ' ὁ Σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπιστάς,
 Κήδεσθαί με δοκεῖς (ἄθλιε) τῶν ἀδίκων;
Εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
 Νῦν ἔφυγες. σταυρῷ δ' ἴσθι φυλαττόμενος.

XL.

Μυρία τοι (Πτολεμαῖε) πατὴρ ἐπὶ μυρία μάτηρ
 Τειρομένα θαλερὰς ᾐκίσατο πλοκάμους.
Πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας
 Ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
Ἁ μεγάλα δ' Αἴγυπτος ἑαυτῷ δάψατο χαίτα.
 Καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
Καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα σελάνα
 Ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπε.
Ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χέρσου,
 Πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ.
Οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο· δὴ γὰρ ἄνακτας
 Τοίους οὐκ Ἀΐδης· Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει.

XLI.

Διάλογος.

Τίς, πόθεν ὁ πλάστης; Σικυώνιος· οὔνομα δὴ τίς;
 Λύσιππος· σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσοὺς
 Ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα
 Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἡ δὲ κόμη τί κατ' ὄψιν; ὑπαντιάσαντι λαβέσθαι
 Νὴ Δία· τἀξόπιθεν πρὸς τί φαλακρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶ
 Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.

Το

Το

Ἀ

Κα

Αα

Ο

Ε

Ἔ

Κ

Ἢ

Ὁ

Ἐλ

Μ

Μ

Ἐ

Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

XLII.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
Αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Ἀλλά μιν Εὐκτήμων πατρικὸς φίλος ὡς ἐνόησεν
Ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
Καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
Θῆκε θυγατρὸς ἑῆς πολλ' ἐπιμείλια δούς.
Αὐτὰρ ἐπεὶ Θήρωνι παρ' ἐλπίδας ἤλυθε πλοῦτος,
Αὐτίκα τοῖς αὐταῖς ἐτρέφεθ' ἐν δαπάναις.
Οὕτω μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
Οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυε τὸ δεύτερον, οὐκ ἔπι κείνῳ,
Ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε καὶ θάλαμον.
Ἔγνω δ' ὡς οὐκ ἔστι κακῶς κεχρημένον ἄνδρα
Τοῖς ἰδίοις, ἑτέρων πιστὸν ἐν ἀλλοτρίοις.

XLIII.

Καλλιγνώτης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,
Οἶκον Ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου.
Ἤτεε δ' ἐξερεείνων εἰ θέρος αἴσιον αὐτῷ
Ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη·
Ὃς δὲ λαβὼν ψηφῖδας, ἐπὶ πίνακός τε πυκάζων,
Δάκτυλά τε γνάμπτων, φθέγξατο Καλλιγνώτῃ·
Εἰ μὲν ἐπομβρηθῇ τὸ ἀρούριον ὅσσον ἀπόχρη,
Μηδὲ τιν' ὑλαίην τέξεται ἀνθοσύνην.
Μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
Ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνύμενον.
Μηδὲ νεβροὶ κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
Ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην.
Ἐσθλόν σοι τὸ θέρος μαντεύομαι· εὖ δ' ἀποκόψεις
Τοὺς στάχυας, μούνας δείδιθι τὰς ἀκρίδας.

XLIV.

XLIV.

Ῥήτορα πρὸς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθὼν
Ἤρετό μιν ποίης ἀμφὶ δικασπολίης.
Ἡμετέρη θεράπαινα φυγὴν ποτε. τὴν δέ τις εὑρὼν
Ἀλλοτρίην τ' εἶναι λάσειν ἐπιςάμενος
Ζεῦξεν ἑῷ θεράποντι· τέκεν δ' ὑπὸ παῖδας ἐκείνῳ.
Καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;
Ὃς δ' ὅτε μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάςην.
Εἶπεν, ἐπιςρέψας γυρὸν ἐπισκύνιον,
Ἢ σοι, ἢ τῷ ἑλόντι τὴν θεράπαιναν ἀνάγκη
Δουλεύειν κείνους, ὧν χάριν ἐξερέεις.
Δίζεο δ' ξυμφέροντα δικασπόλον· αἶψα δ' ἀποίσει
Ψῆφον ἀρειοτέρην, εἴγε δίκαια λέγοις.

XLV.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω,
Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑῤῥαδίου.
Ἄττα γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δή
Νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ.
Ἡ δ' ἑτέρη προβέβηκε· τί λώϊον· εἰ δ' ἄγε μοι σύ
Βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω·
Εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
Ἠνίδε· κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
Κείνων ἔρχεο, φησί, μετ' ἴχνια· χὠ μὲν ἐπέστη
Πλησίον· οἱ δ' ἔλεγον, τὴν κατὰ σαυτὸν ἔλα.
Ταῦτ' αἴων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
Δράξασθαι, παίδων κληδόνι συνθέμενος,
Τὴν δ' ὀλίγην, ὡς κεῖνος, ἐς οἶκον ἀπήγαγε νύμφην
Οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

XL

Τίς
Κ
Πῶ
Τ
Ἢ
Τοί
Τ
Ἀστ
Θ
Πεί
Ξ
Μ
Ι
Σικε
Σ

Κεῖτο
Κα
Νιων
Κα
Ηλ
Τῆ
Πᾶσα
Ἀλ
Αλκι
Φε
αὶ τ
Πά
αὶ τό
Σε

XLVI.

Τίς τόδε σέλμα πέπλωκεν ἐπὶ χθονὸς εἴσατο; ποῖος
Κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
Πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τινι γόμφοι
Τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος;
Ἢ κορυφαῖς Αἴτνας παρεισούμενον, ἤ τινι νάσων
Ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐκδέχεται.
Τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές· ἦ ῥα γίγαντες
Τοῦτο πρὸς εἰναλίας ἔξεσαν ἀτραπιτούς.
Ἄστρων τοι ψαύει καρχήσια, καὶ τριελίκτους
Θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων.
Πείσμασιν ἀγκύραις ἀπερείδεται, οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
Μηνύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
Γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν.
Σικελίας σκαπτοῦχος ὁ Δωρικός· ἀλλὰ Πόσειδον
Σῶζε κατὰ γλαυκῶν σέλμα τόδ' ῥοθίων.

XLVII.

Κεῖτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
Καὶ περὶ λαυκανίην βραγχὰ λαρυγγιόων.
Νισσόμενός τε τὸ πλευρόν, ἅτε ξιφέεσσιν ἀμυχθέν,
Καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευστιόων.
Ἦλθε δὲ Καλλίγνωτος ὁ Κῷος, ὁ πλατυλέσχης,
Τῆς Παιωνίδος πληθόμενος σοφίης.
Πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, οὔτε περισσόν
Ἄλλο προσαγγέλλων ἢ τὸ γενησόμενον.
Ἀλκιμένους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
Φράζετο· καὶ παλάμης ψαῦεν ἐπισταμένως.
Καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
Πάντ' ἀναπεμπάζων οὐκ ἑκὰς Ἱπποκράτους.
Καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνέφηνε,
Σεμνοπροσωπήσας καὶ σοβαρευσάμενος.

Εἴγε φάρυγξ ῥομβεῦσα καὶ ἄγρια τύμματα πλευρῆς
Καὶ πυρετὸς λήξει πνεῦμα δασυνόμενον,
Οὐκέτι τεθνήξῃ πλευρίτιδι· τοῦτο γὰρ ἡμῖν
Σύμβολον ἐσσομένης ἐστὶν ἀπημοσύνης.
Θάρσει· τὸν νομικὸν δὲ κάλει, καὶ χρήματα σαυτοῦ
Εὖ διαθείς, βιότου λῆγε μεριμνοτόκου.
Καί με τὸν ἰητρὸν παρρήσιος εἵνεκεν ἐσθλῆς
Ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

XLVIII.

ΣΑΠΦΟΥΣ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
Παῖ Διὸς δολοπλόκε λίσσομαί σε
Μή μ' ἄσαισι μηδ' ἀνίαισι δάμνα,
Πότνια, θυμόν.
Ἀλλὰ τῆδ' ἔλθ', αἴποτε κἀτέρωτα
Τὰς ἐμᾶς αὐδᾶς ἀΐοις, ἃς πολλάκ'
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα
Χρύσεον ἦλθες
Ἅρμ' ὑποζεύξασα· καλοὶ δέ σ' ἆγον
Ὠκέες στρουθοί, πτέρυγας μελαίνας
Πυκνὰ δινεῦντες ἀπ' ὠρανῶ, αἰθέ-
-ρος διὰ μέσσω.
Αἶψα δ' ἐξίκοντο· τὺ δ' ὦ μάκαιρα
Μειδιάσασ' ἀθανάτῳ προσώπῳ
Ἤρε' ὅττι δ' ἦν τὸ πέπονθα, χ' ὅττι
Δεῦρο καλοίμι.
Χ' ὅττι γ' ἐμῷ μάλιστ' ἐθέλω γενέσθαι
Μαινόλᾳ θυμῷ· τίνα δ' αὖτε πειθῶ
Καὶ σαγηνεῦσαν φιλότητα· τίς σ' ὦ
Σαπφοῖ ἀδικεῖ;
Καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
Αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει,
Χ' ὅττι κελεύῃς.

Ἐ

Ἐλθέ μοι, καὶ νῦν χαλεπᾶν με λῦσον
Ἐκ μεριμνᾶν· ὅσσα δέ μοι τελέσσαι
Θυμὸς ἱμείρει, τέλεσον· σὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

XLIX.

ἈΝΑΚΡΕΌΝΤΟΣ.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας θέλω προπίνειν.
Τροχὸς ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθείς.
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, καλὴν τ' ἐθείρην.
Σκεδάσαι θέλω μερίμνας.

L.

Ὑακινθίνῃ με ῥάβδῳ
Χαλεπῶς Ἔρως βαδίζων
Ἐκέλευσε συντροχάζειν·
Διὰ δ' ὀξέων μ' ἀναύρων
Ξυλόχων τε καὶ φαράγγων
Τροχάοντα τεῖρεν ὕδρος.
Κραδίη δὲ ῥινὸς ἄχρις
Ἀνέβαινε· κἂν ἀπέσβην.
Ὁ δ' Ἔρως μέτωπα σείων
Ἁπαλοῖς πτεροῖσιν, εἶπεν,
Σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

LI.

Ἡ γῆ μέλαινα πίνει.
Πίνει δὲ δένδρε' αὐτήν,
Πίνει θάλασσα δ' αὔρας,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη.
Τί μοι μάχεσθ', ἑταῖροι,
Κ' αὐτῷ θέλοντι πίνειν;

LII.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι,
Χαλεπώτερον δὲ πάντων,
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς ἔρωτα·
Σοφίη, τρόπος πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς
Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφός,
Διὰ τοῦτον οὐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

ΜΟΥΣΑΙΟΥ

Τὰ καθ᾽ Ἡρὼ καὶ Λέανδρον.

Εἰπὲ, θεά, κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς,
Καὶ Σηστὸν καὶ Ἄβυδον, ὅπῃ γάμος ἔννυχος Ἡροῦς.
Νηχόμενόν τε Λέανδρον ὁμοῦ καὶ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.
Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς
Ἐννύχιον μετ᾽ ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων,
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
Ὅττι πέλε ξυνέριθος ἐρωμανέων ὀδυνάων,
Ἀγγελίην τ᾽ ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
Πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ᾽ ἄγε μοι μέλποντι μίαν συναείδε τελευτὴν
Λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο Λεάνδρου.
ΣΕΣΤΟΣ ἔην καὶ Ἄβυδος ἐναντίον, ἐγγύθι πόντου.
Γείτονές εἰσι πόληες. Ἔρως δ᾽ ἀνὰ τόξα τιταίνων
Ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστόν,
Ἠΐθεον φλέξας καὶ παρθένον· οὔνομα δ᾽ αὐτῶν

Ἱμερόεις

Ἱμερόεις τε Λέανδρος ἔην, καὶ παρθένος Ἡρώ,
Ἡ μὲν Σηστὸν ἔναιεν, ὁ δὲ πτολίεθρον Ἀβύδου,
Ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
Εἴκελοι ἀλλήλοισι. σὺ δ' εἴποτε κεῖθι περήσεις,
Δίζεό μοι τινὰ πύργον, ὅπη ποτὲ Σηστιὰς Ἡρὼ
Ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ·
Δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου
Εἰσέτι που κλαίοντα μόρον καὶ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;

Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια· γάμων δ' ἀδίδακτος ἐοῦσα
Πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
Ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
Οὐδέποτ' ἀγρομένῃσι μετωμίλησε γυναιξὶν,
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων
(Καὶ γὰρ ἐπ' Ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες)
Ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
Πολλάκι καὶ τὸν Ἔρωτα παρηγορέεσκε θυηλαῖς,

Μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἤλυθεν ἑορτή,
Τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ·
Πανσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι
Ὅσσοι ναιετάασκον ἁλιστεφέων σφυρὰ νήσων,
Οἱ μὲν ἀφ' Αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου.
Οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι Κυθήρων,
Οὐ Λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων·
Οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,

Οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς Ἀβύδου,
Οὐδέ τις ἠϊθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
Αἰὲν ὁμαρτήσαντες ὅπῃ φάτις ἐστὶν ἑορτῆς.

Οὐ

Οὐ τόσον ἀθανάτων ἀγέλην ἀπεδίδυσι θυηλάς,
Ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρώ,
Μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα προσώπου,
Οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη·
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἦ τάχα φαίης
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι·
Χροιὴ γὰρ μελέων ἐρυθαίνετο· νισσομένης δὲ
Καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
Πολλαὶ δ' ἐκ μελέων Χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
Τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι. εἷς δέ τις Ἡροῦς
Ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρατο Κύπρις.
Ὡς ἡ μὲν περὶ πολλὸν ἀριστεύσασα γυναικῶν
Κύπριδος ἀρήτειρα, νέη διεφαίνετο Κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας, οὐδέ τις ἀνδρῶν
Ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Ἡ δ' ἄρα καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο,
Ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε, καὶ φάτο μῦθον.
Καὶ Σπάρτης ἐπέβην, Λακεδαίμονος ἔδρακον ἄστυ,
Ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
Τοίην δ' οὔπω ὄπωπα νέην κεδνήν θ' ἁπαλήν τε.
Καὶ τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
Παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
Οὐκ ἂν ἐγὼ κατ' Ὄλυμπον ἐριμείρω θεὸς εἶναι,
Ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠϊθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλος
Ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
Αἰνοπαθὲς Λείανδρε, σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,

Οὐκ ἔθελες κρυφίοισι καταστεύχειν φρένα κούρης·
Ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.
Σὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,
Καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
ΚΑΛΛΟΣ γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς,
Ἔτρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
Θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ,
Θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης·
Λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπάς,
Νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
Χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
Πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπήν,
Νεύμασι λαθριδίοισιν ἐπαγγέλλουσα Λεάνδρῳ,
Καὶ πάλιν ἀντέκλινεν· ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ὅττι πόθον ξυνέηκε, καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην,
Φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς·
Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ·
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
Ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην.
Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον. ἡ δὲ σιωπῇ
Οἷά τε χωομένη ῥοδέην ἐξείρυσε χεῖρα.
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
Θαρσαλέως παλάμῃ πολυδαίδαλον εἷλκε χιτῶνα,

Ἔσχατα τιμήεντος ἄγων ἐπὶ κάλθεα νηοῦ,
Ὀκνηλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρώ,
Οἷά περ οὐκ ἐθέλουσα· τοίην δ' ἀνενείκατο φωνήν,
Θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ.
  Ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλην δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
Μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
  Τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήϊα παρθενικάων.
(Καὶ γὰρ ὅτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
Πλαζομένης κραδίης αὐτάγγελοί εἰσιν ἀπειλαί.)
Παρθενικῆς δὲ φίλης ἁπαλὴν χέρα χειρὶ πιέζων
Τοῖον μῦθον ἔειπε, πόθου βεβολημένος οἴστρῳ
  Κύπρι φίλη μετὰ Κύπριν, Ἀθηναίη μετ' Ἀθήνην,
(Οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξίν,
Ἀλλά σε θυγατέρεσσι Διὸς Κρονίωνος ἐΐσκω)
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ.
Γαστὴρ, ἥ σ' ἐλόχευσε, μακαρτάτη· ἀλλὰ λιταίων
Ἡμετέρων ἐπάκουε, πόθου δ' οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια, φυλάσσεο Κύπριδος ὀργήν.
Δεῦρ' ἴθι, μυστιπόλευε γαμήλια θέσμια θεαίνης·
Παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ·
Παρθενικαῖς οὐ Κύπρις ἰαίνεται. αἴθ' Ὑμέναιον
Δαιδοῦχον συγέουσι· σὺ δ' εἰ φιλέεις Κυθέρειαν,
Σόν θ' ἱκέτην με κόμιζε, Καὶ ἢν ἐθέλῃς, παρακοίτην,
Τόν σοι Ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας·
Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς
Θητεύειν ἐκόμιζεν Ἰαρδανίην ποτὲ νύμφην.
Σοὶ δέ με Κύπρις ἔπεμψε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρμῆς,
Παρθένος οὔ σε λέληθεν ἀπ' Ἀρκαδίης Ἀταλάντη·

Ἢ

Ἥ ποτε Μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν
Παρθενίης ἀλέγουσα· χολωσαμένης δ' Ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
Πείθεο καὶ σὺ φίλη, μὴ Κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης,
Θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
Αἰδοῖ ἐρυθιόωσαν ὑποκλέπτουσα παρειὴν,
Καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ' ἴχνεσιν· αἰδομένη δὲ
Πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα,
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα· παρθενικῆς δὲ
Πειθομένης ἀναφαιδὸν ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον Ἐρώτων,
Θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρὼ,
Κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀπωπὴν,
Τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
Οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνὴν,
Αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου.
Ξεῖνε, ποίοις ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις.
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
Οἴμοι, τίς σ' ἐκόμισσεν ἐμὴν ἐς πατρίδα γαῖαν;
Ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
Ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμὴν φιλότητα διώκοις;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι·
Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν. ἢν δ' ἐθελήσῃς
Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
Οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν φλογὸς ὁρμήν·
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος· ἐν δὲ σιωπῇ
Ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
Εἰπὲ δὲ (μὴ κρύψῃς) τεὸν οὔνομα, καὶ σέο πάτρην.
Οὐ γὰρ ἐμόν σε λέληθεν· ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.

Πύργῳ

Πύργος δ' ἀμφιβόητος, ἐμὸς δόμος οὐρανομήκης,
Ὧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ,
Σεστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας,
Γείτονα πόντον ἔχω, στυγεραῖς βουλῆσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες, οὐδὲ χορεῖαι
Ἠϊθέων παρέασιν· ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
Ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.

Ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειήν,
Ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ.
Φράζετο πῶς κεν Ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις Ἔρως βελέεσσι δαμάζει,
Καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται· οἷσι δ' ἀνάσσει,
Αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
Αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
Ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον.
Παρθένε, σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,

Εἰ πυρὶ παφλάζοιτο, καὶ ἄπλοον ἔσσεται ὕδωρ.
Οὐ τρομέω βαρὺ χεῦμα τεὸν μετανεύμενος οἶκον,
Οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης·
Ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
Νήξομαι Ἑλλήσποντον ἀγάρροον· οὐχ ἑκάθεν γὰρ
Ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
Μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
Ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας· ὄφρα νοήσας
Ἔσσομαι ὁλκὰς Ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον,
Καί μιν ὀπιπεύων, οὐκ ὄψομαι δύοντα Βοώτην,

Οὐ θρασὺν Ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν ἁμάξης,
Πατρίδος ἀντιπόρειο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
Ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας.
Μή μιν ἀποσβέσσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
Λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ ἐτεὸν δ' ἐθέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,

Αὔνομά

Οὔνομά μοι Λείανδρος, ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο πελάσαι·
Καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων
Λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάξειν·

Ἡ μὲν φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι.
Ἀλλήλων δ' ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκη·
Ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ' ὀρφναίην ἀνὰ νύκτα,
Μή τι παραπλάζοιτο, λαβὼν σημήϊα πύργου,
Πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη,
Ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ·
Ἀλλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
Ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
Μαρτυρίην λύχνοιο πολυκλαύστοιο δοκεύων,

Ναυτιλίης χαλεπῆς τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην,
Ἡρὼ λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου
Θυμὸν Ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου·
Λύχνῳ καιομένῳ συνεκαίετο· πὰρ δὲ θαλάσσῃ
Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ἔτρεμε μὲν τὸ πρῶτον, ἔπειτα δὲ θάρσος ἀείρας,
Τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις.
Δεινὸς Ἔρως καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἐστὶν ὕδωρ, τὸ δ' Ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.

Λάζεο πῦρ κραδίη, μὴ δείδιθι νήχυτον ὕδωρ,
Δεῦρό μοι εἰς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;
Ἀγνώσσεις ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης,
Καὶ κρατέει πόντοιο, καὶ ἡμετέρων ὀδυνάων;
Ὣς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
Ἀμφοτέρῃς παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ,
Ἠϊόνος δ' ἐξῶρτο, δέμας δ' ἔρριψε θαλάσσῃ,
Λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου,

Αὐτὸ

Αὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ' ὑψιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
Λευγαλέης αὔρησιν ὅθεν πνεύσειεν ἀήτης,
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηστοῦ
Πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν,
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
Νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
Ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης,
Ἤγαγε νυμφοκόμοιο μυχοὺς ἐπὶ παρθενεῶνος,
Καὶ χρόα πάντα κάθηρε, δέμας δ' ἔχρισεν ἐλαίῳ
Εὐόδμῳ, ῥοδέῳ, καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀσθμαίνοντι φιλήνορας ἴαχε μύθους.
Νυμφίε, πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος·
Νυμφίε, πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,
Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης·
Δεῦρο, τεὴν γαμετήν μ' ἐπιδέχνυσο καὶ παράκοιτιν·
Ὣς ἡ μὲν ταῦτ' εἶπεν· ὁ δ' ἄσμενος ἤγαγε κούρην.
Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων.
Οὐ ζυγίην ἱερήν τις ἐπευφήμησεν ἀοιδός,
Οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν,
Οὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
Οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ·
Ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
Σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὀμίχλη,
Καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων·
Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος. Ἔνθα Λέανδρος
Νήχετ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον Ἀβύδου.
Ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
Παρθένος ὡς, διέμιμνεν ἀπάρθενος· ἀμφότεροι δὲ
Πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, οὐδ' ἐπὶ δηρόν.

Κρυπτόμενοι ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
Δὴ γὰρ παχνήεντος ἐπήλυθε χείματος ὥρη
Φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
Βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης
Χειμέριοι πνείοντες ἀεὶ στυφέλιζον ἀῆται,
Λαίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δὲ,
Ἤδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ
Χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
Καρτερόθυμε Λέανδρε· διακτορίη δέ σε πύργου

Ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μαινομένης ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
Νηλειὴς καὶ ἄπιστος· ὄφειλε δὲ δύσμορος Ἡρὼ,
Χείματος ἱσταμένοιο, μένειν ἀπάνευθε Λεάνδρου,
Μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων.
Ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο, θελγομένη δὲ
Μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν Ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἀῆται,
Χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται
Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.

Δὴ τότε Λείανδρος περ ἐθήμονος ἐλπίδι νύμφης
Δυσκελάδων πεφόρητο θαλασσαίων ἐπὶ νώτων.
Ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ' ὕδωρ,
Αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχὴ
Μαρναμένων ἀνέμων· ζεφύρῳ δ' ἀντέπνεεν εὖρος,
Καὶ νότος ἐς βορέην μεγάλας ἀφέηκεν ἀπειλάς,
Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης.
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲν λιτάνευε θαλασσαίην Ἀφροδίτην,
Πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης·
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης.
Ἀλλά οἱ οὔτις ἄρηγεν· Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ,
Τυπτόμενος πεφόρητο· ποδῶν δέ οἱ ὤκλασεν ὁρμὴ,
Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων.

Πολλὴ

Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔῤῥεε λαιμῷ,
Καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης.
Καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
Καὶ ψυχὴν καὶ ἔρωτα πολυτλήτοιο Λεάνδρου.
Ἡ δ' ἔτι δηθύνοντος ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς

Ἵστατο, κυμαίνουσα πολυκλαύστοισι μερίμναις.
Ἤλυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ,
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην
Λύχνου σβεννυμένοιο. Παρὰ κρηπῖδα δὲ πύργου
Θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην,
Δαιδαλέον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
Ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
Κὰδ δ' Ἡρὼ τέθνηκε σὺν ὀλλυμένῳ παρακοίτῃ·
Ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΠΤΟΛ-

ΠΥΘΑΓΟ'ΡΟΥ

ΧΡΥΣΑ῀ Ε῎ΠΗ

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται,
Τίμα, καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυούς,
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων·
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' ἐθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ· πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν, ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι·
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.
Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει, καθ' ὅσον δύνῃ· ὧδε δὲ φράζευ,
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ'· ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἢν πέρ τι λέγηται,

Πρᾶως

1191.
Βυλα
Δηλ
Ἀλλα
Πρῆα
Ὅσα
Οὐδ'
Ἀλλα
Ποιεῖ
Εἰ δ' ἐζ
Καὶ π
Μὴ σ
Μηδ'
Πρῆα
Μηδ'
Πρὶν
Πῆ π
Ἄρξα
Δηλα
Ταῦτ
Ταῦτ
Ναὶ μ
Παρα
Θεοῖσ
Γνώση
Σύστα
Γνώση
Ὥστε
Γνώση
Τλήμο
Οὔτε
Τοίη
Ἄλλο
Λυγρὴ

Πράως ἴσχ'· ὃ δέ, τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ μήτε τι ἔργῳ
Πρῆξαι μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
Ὅσσα χρεών· καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή,
Ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων.
Μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου,
Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε·
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι· τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ', ἣ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην·
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, οἵτ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν

Σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγ.
Ζεῦ πάτερ, ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

Ἀ

Δεσ

Μιθ

Ἔστ

Χρῶ

Δειμ

Οὐ γ

Ἦν

Οὐδ

Εὐπ

Μικ

Βάλ

Γυμν

Καὶ

Ἀνέσ

Τόξο

Τυτ

Καὶ

Τοὶ π

Πάντ

Βαιά

Ἦν τ

Κἢν

Κἢν γ

Φεύγ

Ἦν

Μήτε

ΜΟΣΧΟΥ

Ἔρως Δραπέτης.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει,
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
Μισθός τοι, τὸ φίλαμα τὸ Κύπριδος, ἢν ἀγάγῃς νιν.
Ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτοῦ
Δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα.
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται. ὡς μέλι, φωνά.
Ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
Οὐδὲν ἀλαθεύων· δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει.
Βάλλει κ' εἰς Ἀχέροντα καὶ εἰς Ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλως
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
Τυτθὸν ἐὸν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλέον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε, μηδ' ἐλεήσῃς,
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ,
Κἢν γελάᾳ, τύ νιν ἕλκε, καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἢν δὲ λέγῃ, Λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
Μή τύ θίγῃς· πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

ΒΙΩΝΟΣ ΣΜΥΡΝΑΙΟΥ

Ἐπιτάφιος Ἀδώνιδος.

Αἰάζω τὸν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε.
Ἔγρεο δειλαία κυανόστολε, καὶ πλατάγησον
Στάθεα, καὶ λέγε πᾶσιν, Ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες·
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιῇ
Λεπτὸν ἀποψύχων, τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός. ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει.
Ἀλλ' οὐκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις.
Μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος·
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ' Ἀφροδίτα,
Λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν τείροντι, καὶ ἱερὸν αἷμα δρέποντι.
Ὀξὺ δὲ κωκύοισα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.

Ἀμ

Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ᾽ ὀμφαλὸν ᾐωρεῖτο.
Στάθεα δ᾽ ἐκ μηρῶν φοινίσσετο· οἱ δ᾽ ὑπὸ μαζοὶ
Χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἲ αἲ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις.
Κάτθανε δ᾽ ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἲ αἲ.
Ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες, αἲ τὸν Ἄδωνιν·
Καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ᾽ ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη
Πάντας ἀνὰ κναμὼς καὶ ἀνὰ πόλιν οἰκτρὸν ἀείδει.
Αἲ αἲ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ᾽ ἀντεβόασεν, Ἀπώλετο καλὸς Ἄδωνις,
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; Αἲ αἲ.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα κινύρετο, Μεῖνον Ἄδωνι.
Δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω,
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ᾽ αὖ πύματόν με φίλασον.
Τοσσοῦτόν με φίλασον ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσειε, φίλαμα δὲ τοῦτο φυλάξω
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με δύσμορε φεύγεις,
Φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα,
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμὶ, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταρρεῖ.
Εἰμὶ δ᾽ ἐγὼ πανάποτμος, ἔχω δ᾽ ἀκόρεστον ἀνίαν,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σε φοβεῦμαι
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
Χήρη δ᾽ ἁ Κυθέρεια· κενοὶ δ᾽ ἀνὰ δώματ᾽ Ἔρωτες.
Σοὶ δ᾽ ἅμα κεστὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἐμήναο θηρσὶ παλαίειν;

Ὧδ᾽

Ὡδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες.
Αἴ αἴ τὰν Κυθέρειαν. Ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφίη τόσον ἐκχέει, ὅσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι·
Ἔστ' ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις,
Καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
Κάτθεο καὶ μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
Χρυσέῳ ἐν κλιντῆρι· πόθει καὶ συγνὸν Ἄδωνιν.
Βάλλε δ' ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τῆνος, τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
Ῥαῖνε δὲ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισι·
Ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
Ἀμφὶ δὲ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι. χῶ μὲν ὀϊστώς,
Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φαρέτραν·
Χῶ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ· ὃ δὲ μηρία λούει·
Ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ στέφος ἐξεπέτασσε γαμήλιον· οὐκέτι δ' Ὑμὰν
Ὑμὰν οὐκέτ' ἀειδόμενον μέλος, ᾄδεται αἴ αἴ.
Αἴ αἴ καὶ τὸν Ἄδωνιν ἔτι πλέον, αἲ Ὑμέναιον,
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλῃσι λέγοισαι·
Αὐταὶ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ Διώνα.
Καὶ Μοῖραι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,
Καί μιν ἐπαείδουσιν. ὁ δέ σφισιν οὐκ ἐπακούει,
Οὐ μὰν οὐκ ἐθέλει, κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τὸ σάμερον ἴσχεο κόμμων·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

Εἰδύλλιον β'.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
Χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
Τᾷ καὶ τᾷ τὸν Ἔρωτα μεταλμένον ἀμφεδόκευεν.
Χὡ παῖς ἀσχαλάων, ἕνεχ' οἱ τέλος οὐδὲν ἀπάντη,
Τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
Καὶ οἱ δεῖξεν Ἔρωτα καθήμενον, αὐτὰρ ὁ πρέσβυς
Μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα,
Φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν. κακὸν ἐντὶ τὸ θηρίον· ὄλβιος ἔσσῃ
Εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ' αὐτῷ
Ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι σεῖο καθιξεῖ.

ΤΕ'ΛΟΣ.